881
E8
1858
V.12

THE UNIVERSITY

OF ILLINOIS

LIBRARY

881
E8
1858
v. 1[2]

Vahlen Library
1913

CLASSICS
DEPARTMENT

BIBLIOTHECA GRAECA
VIRORUM DOCTORUM OPERA
RECOGNITA ET COMMENTARIIS INSTRUCTA
CURANTIBUS
FR. JACOBS & V. CHR. FR. ROST.

EURIPIDIS

HECUBA.

RECENSUIT ET COMMENTARIIS INSTRUXIT

AUG. IUL. EDM. PFLUGK.

EDITIO TERTIA,

QUAM CURAVIT

N. WECKLEIN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXVII.

EURIPIDIS
TRAGOEDIAE.

RECENSUIT ET COMMENTARIIS INSTRUXIT

AUG. IUL. EDM. PFLUGK.

VOL. I. SECT. II.

CONTINENS

HECUBAM.

EDITIO TERTIA,

QUAM CURAVIT

N. WECKLEIN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXVII.

EURIPIDIS

HECUBA.

RECENSUIT ET COMMENTARIIS INSTRUXIT

AUG. IUL. EDM. PFLUGK.

UNIVERSITY OF ILLINOIS LIBRARY URBANA

EDITIO TERTIA,

QUAM CURAVIT

N. WECKLEIN.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXVII.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PA
1858
v. 1²

PRAEFATIO EDITIONIS TERTIAE.

Pflugkianae editionis recensionem ab illustrissimo librario mihi demandatam eadem ratione curavi qua Wunderi Philoctetam, nisi quod plura addenda, plura tollenda erant. Quare cum non habeam quod de mea opera multa verba faciam, per licentiam praefationis iuvat memoriae prodere elegantem carminis quod est inde a v. 905 paraphrasin, quam ex Anglis diurnis philologicis Matthiaeus Eur. trag. tom. VI p. 106 descripsit:

Heu! occidisti funditus, Ilion:
non iam superbum, patria, verticem
invicta iactabis nec altas
iura dabis Phrygias per urbes.

Heu! occidisti: nube Pelasgica
cingit iacentem perque tuas domos,
ferroque vastatas et igni,
torva tuens spatiatur hostis.

Neptuniarum culmina turrium
lugubris atra labe tegit cinis:
actum est; nec antiquas parentum
fas iterum peragrare sedes.

Nox saeva, nox me perdidit invida,
dulcisque serpens post epulas sopor;
securus in lecto maritus
carminibus choreaque sacra

fessum levabat corpus, et immemor
pendentis hastae credidit hostibus
fugisse visis, et peractos
urbis ovans meminit labores.

265390

At ipsa, formaeque et speculo vacans,
per colla fusas purpurea comas
mitra coërcebam, iugali
molle caput positura lecto.

Sed ecce! dirus moenia personat
turbata clamor: Vadite, vadite
Troia triumphata superbi
ad patrias, Danai, Mycenas.

Tum paene nudo corpore, virginis
instar Lacaenae, destituo torum,
supplexque nequiquam pudicae
assideo genibus Dianae.

Viso mariti funere, turgidas
longe per undas Oceani trahor;
navisque cum victrix tetendit
vela noto nimium secundo,

divisa caro littore patriae
urbisque lapsas respiciens domos,
heu! mente defeci, et severo
procubui superata luctu.

ΕΥΡΙΠΙΔΟΥ

Ε Κ Α Β Η.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.
ΕΚΑΒΗ.
ΧΟΡΟΣ ΑΙΧΜΑΛΩΤΙΔΩΝ ΓΥΝΑΙΚΩΝ.
ΠΟΛΥΞΕΝΗ.
ΟΔΥΣΣΕΥΣ.
ΤΑΛΘΥΒΙΟΣ.
ΘΕΡΑΠΑΙΝΑ.
ΑΓΑΜΕΜΝΩΝ.
ΠΟΛΥΜΗΣΤΩΡ.

PROOEMIUM.

Argumentum Hecubae depromptum est ex memoria excidii Troiani, unde petitas duas res consociavit poeta, immolationem Polyxenae ad tumulum Achillis et Polymestoris, Thracum regis, ob interfectum Polydorum, Hecubae filium eundemque ipsius tutelae commissum, vindictam. Ita factum est, ut duplex esset actio, verum has duas actiones, nisi egregie fallor, coniungi necesse fuit, aut, si coniungi sine vitio non possent, totum argumentum relinquendum. Sed illa reprehensio duplicis actionis qualis tandem est? Neque enim, ut opinor, eam vim habet hoc praeceptum, quod excludit eiusmodi varietatem argumenti, ut nulla sit bona fabula, nisi quae simplicem habeat actionem, sed illa vel optima censenda est, qua res diversae ita sunt comprehensae et quodam mixtae quasi temperamento, ut eae ad unum tamen eundemque finem conspirent. Quid est enim, cur desideretur in tragoedia unitas actionis? nisi quod coniunctis quae aut singula aptam tragoediae materiam praeberent aut aliquid saltem haberent, quod longius evagaretur et exuberaret quodammodo, fieri non potest, quin, absoluta una parte et consumptis metus ac miserationis affectibus, ad reliqua minuatur attentio et languescat studium spectandi. Atque in Hecuba quidem tantum abest, ut aliquid abundare videatur, ut, detracta alterutra parte, imperfecta sit haec fabula futura. Sed quo magis quid de illius compositione sentiamus perspiciatur, argumentum ordine explicabimus.

Prologi partes agit simulacrum Polydori, qui, cum esset tertio abhinc die occisus ab hospite opibus ipsius potituro et in mare proiectus, impetrasse se a diis inferis narrat, ut incideret in manus matris et sepulturae honore afficeretur; venisse autem Hecubam a Troia in Chersonesum, quod erat regnum Polymestoris, cum exercitu Graecorum, quem constitisse in ora illius terrae, quod visus esset supra tumulum Achilles Poly-

xenae caedem expostulans, eamque fortissimo quondam heroi datum iri. Inde Hecuba progreditur et dira narrat somnia, ex quibus in maximum de fortuna Polydori et Polyxenae metum inciderit. Ac de filia haud vanam fuisse sollicitudinem statim cognoscitur, choro Troianarum mulierum nuntium afferente decreti quod fecerant Graeci de immolanda Achilli Polyxena. Graves inde Hecubae lamentationes, et evocatur Polyxena, quae, audita re, et ipsa flebiles fundit querelas, magis tamen ut orbam matris senectam quam suam ipsius vicem doleat. Iam vero adest Ulixes, perferendis exercitus mandatis et abducendae virgini delectus, quem Hecuba commemorato vitae servatae beneficio et precibus multis ac miseratione permovere studet, ut neque ipse filiam ex matris amplexu avellat, et Graecis aliam esse victimam Achilli tribuendam persuadeat. Contra illo disserente negari hoc munus fortissimo viro non posse, cum filiam Hecuba, ut suas ipsa preces adiceret, hortata esset: tanta conspicitur Polyxenae constantia et magnitudo animi, cum sibi quidem mortem tanquam aliquem portum diceret videri, in quem ex gravissima tempestate fortunae confugeret vitaretque omnem illam servitii turpitudinem; matrem autem consolaretur ea ipsa re, quod nihil esset indignum pristina fortuna toleratura, ut, si quis et aetatem illius et pulcritudinem consideraret, non posset non luctu fletuque prosequi abeuntem multisque signis caritatis et doloris matri valedicentem. Post canticum chori, quo quae non erant simili sive beneficio fortunae sive iniuria evasurae mala servitutis mulieres futuram conditionem coniectant, Talthybius advenit peractum sacrificium nuntians tamque admirabilem in ipso mortis discrimine fortitudinem Polyxenae fuisse narrans, ut neque, cui erat illud negotium demandatum, Neoptolemus nisi haesitans et invitus puellam maioribus paene animi quam corporis virtutibus ornatam mactare posset, et qui aderant Graeci milites, ut defunctae honori ne quid deesset, certatim providerent. Magnum ea res afferre matri solatium poterat, quae, collaudata filiae virtute, ut sibi corpus et exsequiarum cura concederetur, petiit. Simul misit ancillam, quae aquam e mari haustam ad lavandum corpus afferret, et ipsa funebrem ornatum paratura discessit.

Hinc altera fabulae pars incipit. Rediens ancilla corpus Polydori apportat: quae res cum gravissime omnes perculisset, alium tamen ac plerosque credibile

est exspectasse eventum habuit. Etenim quem benevolum Hecubae iam in illa de ducum inter se discordiis narratione, cum deliberarent de victima Achilli tribuenda, cognovimus, princeps exercitus Graecorum Agamemno advenit mirans illius in funere curando cunctationem, idque ut acceleraret hortaturus. Quem Hecuba, cum aliquamdiu haesitasset, precibus adiit, ut se in exigendis a Polymestore poenis adiuvaret. Igitur postquam quod voluit impetraverat, acciri cum liberis suis Polymestorem iussit. Cuius hominis fallaciam ac detestabilem auri cupiditatem tam egregie adumbravit poeta, ut augeri iram et ex ultione quae imminet gaudium necesse sit. Atque ingressi remotis satellitibus in tentorium acres continuo audiuntur clamores, unde quod suspicatae fuerant mulieres, ex quibus chorus est compositus, exsecutam esse reginam consilium ulciscendi, mox evolans ipsa confirmat. Inde species miserabilis Polymestoris: aliquando irae, saepius fletus et auxilii imploratio: tandem accedit Agamemno, coram quo causa disceptatur et cadit iudicio Polymestor. Gravia perpetravit Polymestor; indigna perpessus est. Neque inultus manet. Vaticinatur enim oraculo edoctus, quam foedum vitae exitum Hecuba habitura sit in canem conversa, cuius mari demersae monumentum futurum sit *Κυνὸς σῆμα* locus Chersonesi.

Harum actionum unum finem intellegemus, si hoc consilium poetae *τραγικωτάτου* fuisse statuerimus, ut in affectibus Hecubae mulieris barbarae excitandis et augendis irae immodestiam, immanem et incontinentem ulciscendi cupiditatem, illam animi acerbitatem et rabiem, propter quam Hecubam dicit Cicero Tusc. III 26 in canem conversam videri, effingeret ad animos commovendos.

Huic consilio prior pars fabulae, cui quidem propriae virtutes sunt et sua perfectio, vel maxime convenit. Nam luctuoso carissimae filiae interitu, qui nullam Graecorum iniuriam habet, in animo Hecubae ea aegritudo et ea acerbitatis vis colligitur, ut iam probabile sit iniuria Polymestoris perfidiaque non muliebres lamentationes, sed illum furorem excitari, cuius immanem vim in altera fabulae parte cum admiratione et simul horrore aspicimus. Itaque unitas actionis, quam nullam esse putant cum alii tum Hermannus in praef. ed. sec. p. XV sqq., non solum in Hecubae persona, sed in affectibus eius explicandis posita est. Cfr. quae de hac re longius disputata sunt in Fleckeiseni

annal. philol. 1870 p. 569 sqq. De virtutibus huius fabulae et de imitationibus posteriorum poetarum vid. Patin études sur les tragiques Grecs. Euripide. T. I p. 363 sqq. quartae editionis.

Scena fabulae, cuius picturam ex v. 53 sq. et 1014 sqq. cognoscas, in Chersoneso Thracia fingitur. Nam quod sacrificium Polyxenae in agro Troiano ad tumulum Achillis fieri consentaneum est, id ad ipsius fabulae actionem nihil pertinet. Quae enim extra scenam aguntur, eorum locum poeta tragicus non magis anxie curat quam tempus, et ut eorum tempora, ita loca quoque quasi contrahuntur, ut spectatores non inquirerent, utrum sacrificium Polyxenae in Chersoneso ipsa fieret an Achaei ad Sigeum revecti tumulum Achillis circumstarent.

De tempore quo haec fabula docta videtur, vid. ad v. 455—465. Convenit ei tempori (Ol. 88, 4 vel 89, 1) id quod in Nubibus Aristophanis primum Ol. 89, 2 doctis locus Hecubae Euripideae derisui habetur, de quo vid. ad v. 172, atque numeros versuum tragoediam circa Ol. 89 scriptam prodere Hermannus ad v. 455 monuit. Ad antiquiorem fabulam etiam id referendum, quod deus ex machina qui dicitur etiam nunc vaticiniis oraculi quasi obvolutus est.

ΥΠΟΘΕΣΙΣ.

Μετὰ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν Τρῳάδος Χερρόνησον καθωρμίσθησαν· Ἀχιλλεὺς δὲ νυκτὸς ὁραθεὶς σφαγῆναι ἠξίου μίαν τῶν Πριάμου θυγατέρων. οἱ μὲν οὖν Ἕλληνες τιμῶντες τὸν ἥρωα Πολυξένην ἀποσπάσαντες Ἑκάβης ἐσφαγίασαν· Πολυμήστωρ δὲ ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἕνα τῶν Πριαμιδῶν Πολύδωρον κατέσφαξεν. εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ εἰς παρακαταθήκην μετὰ χρημάτων. ἁλούσης δὲ τῆς πόλεως, κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον φονεύειν ὥρμησεν καὶ φιλίας δυστυχοῦς ὠλιγώρησεν. ἐκριφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν, τὸ κλυδώνιον πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω· κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο, κρύπτουσα τὸ γεγονός, ὡς θησαυροὺς ἐν Ἰλίῳ μηνύσῃ αὐτῷ· παραγενομένου δὲ τοὺς μὲν υἱοὺς κατέσφαξεν, αὐτὸν δὲ τῶν ὀφθαλμῶν ἐστέρησεν. ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουσα τὸν κατήγορον ἐνίκησεν· ἐκρίθη γὰρ οὐκ ἄρχειν ὠμότητος, ἀλλ᾽ ἀμύνασθαι τὸν κατάρξαντα.

ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.

Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
λιπών, ἵν' Ἅιδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως,
Πριάμου τε πατρός, ὅς μ', ἐπεὶ Φρυγῶν πόλιν
κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
δείσας ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς
Πολυμήστορος πρὸς δῶμα, Θρηκίου ξένου,
ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα
σπείρει φίλιππον λαὸν εὐθύνων δορί.
πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρᾳ
πατήρ, ἵν', εἴ ποτ' Ἰλίου τείχη πέσοι
τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
νεώτατος δ' ἦ Πριαμιδῶν· ὃ καί με γῆς

V. 1. In prologo (1—99) monodiae Hecubae praemissum est soliloquium personae quae dicitur protaticae, quo rebus et praeteritis et futuris breviter vel expositis vel significatis animi spectantium attenduntur ad affectus in persona Hecubae erupturos.

v. 2. *χωρὶς θεῶν*] Ditis *οἰκία σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ*, Homer. Il. *υ* 65.

v. 3. „Dymantis, non Cisseos, filiam Hecubam facit Homerus Il. *π* 718. Sed Euripidem sequitur Vergilius Aen. X 705, Vergilium ceteri poetae Latini.“ *Porson.*

v. 6. *ὑπεξέπεμψε*] I. e. *λάθρᾳ ἐξέπεμψε*. Conf. v. 10. 14. Androm. 47: *ὃς δ' ἐστὶ παῖς μοι μόνος, ὑπεκπέμπω λάθρᾳ Ἄλλους ἐς οἴκους.*

v. 8. Probabiliter Hermannus coniecit *τήνδ' ἀρίστην*.

v. 9. *φίλιππον*] Cfr. v. 428 *ἐν φιλίπποις Θρῃξί*, 1089, Soph. fr. 520 *Ἥλιε, φιλίπποις Θρῃξὶ πρέσβιστον σέλας*, Hesiod. O. e. D. 505 *διὰ Θρήκης ἱπποτρόφου*. De Thracibus, Getis Odrysis, ex equo pugnantibus v. Thuc. II 98, de Ciconibus Hom. Od. *ι* 49.

v. 13. *ὃ*] I. e. *δι' ὅ*. Rem, ipsam per se satis levem, sed de qua tamen dubitasset Porsonus, dignam iudicaverunt quam assererent viri doctissimi Iacobsius ad Anthol. Pal. p. 333. Reisigius Enarr. ad Soph. Oed. Col. p. CLVII. Sic apud Soph. Philoct. 142: *τό μοι ἔννεπε, τί σοι χρεὼν ὑπουργεῖν*. Cf. Hom. Il. *γ* 176. *η* 239. *τ* 213. Pind. Ol. VI 56. Pyth. V 39. Krueg. II § 46, 4, 2.

ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα
οὔτ' ἔγχος οἷός τ' ἦ νέῳ βραχίονι.
ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα,
πύργοι τ' ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονός,
Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς ηὐτύχει δορί,
καλῶς παρ' ἀνδρὶ Θρῃκί, πατρῴῳ ξένῳ,
τροφαῖσιν, ὥς τις πτόρθος, ηὐξόμην τάλας.
ἐπεὶ δὲ Τροία θ' Ἕκτορός τ' ἀπόλλυται
ψυχὴ πατρῴα θ' ἑστία κατεσκάφη,
αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πίτνει,
σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,
κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
ξένος πατρῷος, καὶ κτανὼν ἐς οἶδμ' ἁλὸς
μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
κεῖμαι δ' ἐπ' ἀκτῆς, ἄλλοτ' ἐν πόντου σάλῳ

v. 16. *ἔκειτ' ἐρείσματα* speciose coniecit Scaliger. *ὁρίσματα* intellegit schol. *τὰ τείχη καὶ τοὺς πύργους.*

v. 20. „Ex Homerico adumbratum, *ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος.*“ Porson. Il. *σ* 56. vid. Bentlei. ad Horat. Carm. I 12, 45. Philostratus Heroic. p. 713: *αὐξηθείς τε ῥᾶον ἢ τὰ πρὸς ταῖς πηγαῖς δένδρα πολὺς μὲν ἐν συμποσίοις ᾔδετο, πολὺς δὲ ἐν σπονδαῖς.* Cf. Pind. Nem. VIII 40.

v. 21 sq. *ἀπόλλυται — — κατεσκάφη — πίτνει*] Saepe in narrationibus modo aoristus ponitur, modo praesens, cuius variationis [praeter metri necessitatem] ea est ratio, ut, quae graviora videantur esse aut tanquam vividiora magis percellant narrantis animum, praesenti tempore exprimantur, res secundariae vero ac levioris momenti aoristo. Sic infra v. 266: *κείνη γάρ ὤλεσέν νιν ἐς Τροίαν τ' ἄγει.* V. C. Fr. R.

v. 23. *αὐτὸς*] Scil. *ὁ πατήρ*, quod latet in adiectivo *πατρῴα*. Exposuit de hoc genere Krueg. II § 43, 3, 7. Ad rem cf. Verg. Aen. II 506 sqq. — „*Δεόδμητος* etsi proprie ab diis conditum significat, unde Athenae, Delphi, Delus *θεόθμητοι*, tamen multo usu ita deflexit, ut omnino consecratum diis, sacrum, divinum notaret. Frequens eius usus apud Pindarum.“ Herm.

v. 25. *κτείνει — κτανών*] Phoen. 22: *ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος* etc. Herc. 33: *κτείνει Κρέοντα, καὶ κτανὼν ἄρχει χθονὸς.*

v. 27. Cfr. Hom. Od. *φ* 29 *ἔπειτα δὲ πέφνε καὶ αὐτόν, Ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισιν.*

v. 28. Restitui ex optimo libro Marciano *ἀκτῆς* pro vulgato *ἀκταῖς*. Alia ratio est v. 36. Ibi enim de compluribus locis litoris dicitur ut Liv. I 27 *cunctantur in ripis*, hic autem non variatio locorum significari debet, sed praesens situs, ut etiam de suppresso priore *ἄλλοτε* cl. Soph. Trach. 11 minus recte cogitent viri docti. Ceterum comparari potest Hom. Od. *α* 161 *ἀνέρος, οὗ δή που λεύκ' ὀστέα πύθεται ὄμβρῳ Κείμεν' ἐπ' ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδει.*

πολλοῖς διαύλοις κυμάτων φορούμενος,
ἄκλαυτος, ἄταφος· νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀίσσω σῶμ' ἐρημώσας ἐμόν,
τριταῖον ἤδη φέγγος αἰωρούμενος,
ὅσονπερ ἐν γῇ τῇδε Χερσονησίᾳ
μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες ἥσυχοι
θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρηκίας χθονός·
ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς
κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικόν
πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην·
αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν.
καὶ τεύξεται τοῦδ', οὐδ' ἀδώρητος φίλων
ἔσται πρὸς ἀνδρῶν· ἡ πεπρωμένη δ' ἄγει
θανεῖν ἀδελφὴν τῷδ' ἐμὴν ἐν ἤματι.
δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
μήτηρ, ἐμοῦ τε τῆς τε δυστήνου κόρης.
φανήσομαι γάρ, ὡς τάφου τλήμων τύχω,
δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.
τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην

v. 29. *διαύλοις κυμάτων*] Reciprocis fluctibus, ut bene interpretatur Schneid. in Lex. Similiter a curriculo translata locutio Iph. T. 81 *δρόμους τε πολλοὺς ἐξέπλησα καμπίμους*, Aesch. Ag. 344 *κάμψαι διαύλου θάτερον κῶλον πάλιν*.

v. 30. Soph. Antig. 29: *ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς βοράν*. — *ὑπὲρ μητρὸς φίλης* i. e. ut interpretatur schol., *ὑπὲρ τῆς κεφαλῆς τῆς μητρός*, ut apud Homerum *εἴδωλον στῆ ὑπὲρ κεφαλῆς*.

v. 31. Notanda solutio primae syllabae in verbo *ἀΐσσω*, quod vulgo *ᾄσσω* pronuntiabant Attici. V. Gerth. de dial. trag. § 10.

v. 32. *τριταῖον*] Pro *τρίτον*. Sic etiam in Hipp. 275: *πῶς δ' οὔ, τριταίαν οὖσ' ἄσιτος ἡμέραν*; Vid. Hermann. ad. Vig. p. 720, 61.

v. 39. *εὐθύνοντας*] Refertur ad *στράτευμα*, i. e. *στρατιώτας*. Soph. Phil. 356: *καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς Ἐκβάντα πᾶς ἠσπάζετ' ὀμνύντες βλέπειν Τὸν οὐκ ἔτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν*. Cf. Rhes. 44. Krueg. I § 58, 4, 1.

v. 41. *τύμβῳ*] Dativus commodi, quem dicunt; ut Iph. T. 243: *θεᾷ φίλον πρόσφαγμα καὶ θυτήριον Ἀρτέμιδι*. — *γέρας λαβεῖν* rectius quam, quod Porsono placebat, *λαχεῖν* dicitur; quippe non sorti cessit Polyxena, sed ex decreto Achivorum ad tumulum Achillis immolata est.

v. 45. Singulare quoddam acumen quaerunt tragici in numerorum aut parium consociatione aut disparium oppositione. Cf. modo huius fabulae v. 125 ss. 896. Orest. 1536. Androm. 516.

τύμβου κυρῆσαι κεἰς χέρας μητρὸς πεσεῖν.
τοὐμὸν μὲν οὖν ὅσονπερ ἤθελον τυχεῖν
ἔσται· γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβῃ· περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος φάντασμα δειμαίνουσ' ἐμόν.
φεῦ·
ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
δούλειον ἦμαρ εἶδες, ὡς πράσσεις κακῶς,
ὅσονπερ εὖ ποτ'. ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

ΕΚΑΒΗ.

ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον,
Τρῳάδες, ὑμῖν, πρόσθε δ' ἄνασσαν.
λάβετε, φέρετε, πέμπετ', ἀείρετέ μου

v. 50. *τύμβου κυρῆσαι κεἰς χέρας μητρὸς πεσεῖν* i. e. *εἰς χέρας μητρὸς πεσὼν τύμβου κυρῆσαι* eadem ratione dicitur atque *v.* 266 *κείνη γάρ ὤλεσέν νιν εἰς Τροίαν τ' ἄγει.*

v. 51. De *τυχεῖν* cum accusativo constructo v. Krueg. II § 47, 14, 4. — *τοὐμόν* subiectum esse verbi *ἔσται* apparet.

v. 53. *ὑπὸ σκηνῆς*] Ex tentorio. Praepositionem enim hanc etiam cum verbis motum significantibus coniungi, si quid ex ea re exire vel emitti significatur sub qua fuit, docuit ad hunc l. Hermannus. — *περᾷ πόδα* dicitur ut *βαίνω πόδα.* Cfr. Krueg. II § 46, 7, 3.

v. 55. *ἐκ τυραννικῶν δόμων*] Post regalis domus splendorem. El. 305: *ὑπὸ στέγαισί τε Οἴαισι ναίω βασιλικῶν ἐκ δωμάτων.* Troad. 494: *κἀν πέδῳ κοίτας ἔχειν Ῥυσοῖσι νώτοις βασιλικῶν ἐκ δεμνίων.* Cf. infra v. 915. 1160. Heind. ad Plat. Protagor. § 4. — *Δούλειον ἦμαρ τὴν δουλείαν* dicit Homeri exemplo, apud quem est etiam *ἐλεύθερον ἦμαρ, νόστιμον ἦμαρ.* Vid. Hemsterh. ad Callim. h. Del. 128. Cf. Eur. Androm. 99. Rhes. 991.

v. 57. *ὅσονπερ εὖ ποτ'*] Scil. *ἔπραξας.* Infra v. 519: *νῦν τε γάρ λέγων κακὰ τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο,* scil. *ἔτεγξα.* Lysias pro bonis Aristoph. § 32: *πρὸς δὲ τούτοις καὶ πρότερον πρὸς τοὺς συνδίκους καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι.* — Quae sequuntur sic construenda sunt: *ἀντισηκώσας τῆς πάροιθ' εὐπραξίας θεῶν τίς σε φθείρει,* id est: 'vices rependens prioris felicitatis aliquis deorum te pessumdat'.

v. 59 sqq. Hecuba, senio miseriisque confecta, cum infaustis somniis perturbata esset, procedit ope Troianarum mulierum, quae incolumi urbe servae ipsius fuerant. — *τὴν ὁμόδουλον*: Communis sors benevolentiam simul et misericordiam excitat. Androm. 64: *ὦ φιλτάτη σύνδουλε, σύνδουλος γὰρ εἶ τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυστυχεῖ.*

62. In primum dimetri anapaestici locum admisit proceleusmaticum, cum numeris, ut in tanto animi motu, liberioribus utatur, qui quidem etiam neglectam caesuram patiuntur, ut mox v. 98. — Deinde iunge *γεραιᾶς χειρός μου,* nam enclitica haud raro

γεραιᾶς χειρὸς προσλαζύμεναι·
κἀγὼ σκολιῷ σκίπωνι χερὸς
διερειδομένα σπεύσω βραδύπουν
ἤλυσιν ἄρθρων προτιθεῖσα.
ὦ στεροπὰ Διός, ὦ σκοτία νύξ,
τί ποτ' αἴρομαι ἔννυχος οὕτω
δείμασι, φάσμασιν; ὦ πότνια χθών,
μελανοπτερύγων μᾶτερ ὀνείρων,
ἀποπέμπομαι ἔννυχον ὄψιν,
ἂν περὶ παιδὸς ἐμοῦ τοῦ σῳζομένου κατὰ Θρήκην
ἀμφὶ Πολυξείνης τε φίλης θυγατρὸς δι' ὀνείρων
[εἶδον γὰρ] φοβερὰν [ὄψιν ἔμαθον] ἐδάην.

praecedit id vocabulum, unde pendet; ut infra v. 277. Hipp. 1154. aliisque locis, quos indicaverunt Matthiaeus ad h. l. et Elmsleius ad Iph. T. 940. — *γεραιᾶς* mediam syllabam corripit, ut *παλαιός* El. 497. *δείλαιος* apud Aristoph. Plut. 850. Nub. 1473. cf. Iacobs ad Athen. p. 113. ad Anthol. Pal. p. 263 et 361. Wecklein. cur. epigraph. p. 53 sq., Krueg. II § 3, 3, 1. — De structura verborum *χειρὸς προσλαζύμεναι* cfr. Krueg. I § 47, 12.

v. 65. *σκολιῷ σκίπωνι χερός*] *Σκίπων* s. scipio, baculus natura rectus est; igitur cum manum, cui tanquam scipioni ac fulcro inniteretur Hecuba, diceret *σκίπωνα χερός*, ad leniendam metaphorae insolentiam adiecit *σκολιός*. Rationem dicendi aperuit Blomfieldius gloss. ad Aesch. Agam. 81. Cf. etiam Reisigii Enarr. in Soph. Oed. C. p. CXVIII.

v. 66 sq. *σπεύσω — — προτιθεῖσα*] Iunge: *σπεύσω προτιθεῖσα βραδύπουν ἤλυσιν ἄρθρων*. In his *βραδύπουν ἤλυσιν ἄρθρων* poetice dictum pro *βραδεῖαν βάσιν ἄρθρων* vel *ποδῶν*. Sensus: festinabo, quantum licet per pedes senio graves. V. C. Fr. R. Verba *σπεύσω βραδύπουν* recordationem habent proverbialis locutionis *σπεῦδε βραδέως*.

v. 68. *στεροπὰ Διός*] Lux diei, ut v. 709: *Διὸς φάος*. Sophoclis locum, Trach. 99, citavit Hermannus, ubi Sol dicitur *λαμπρᾷ στεροπᾷ φλεγέθων*.

v. 70. Noctem Somniorum matrem prodidit Hesiodus Theog. 212. Cfr. Aristoph. Ran. 1335. Terram eorundem parentem dixit Euripides praeter hunc locum etiam in Iph. T. 1263 *νύχια χθὼν ἐτεκνώσατο φάσματ' ὀνείρων*, ubi rationem originis inde repeti videmus, quod quibusdam locis hominibus in terra cubantibus oracula Somniorum edi credebantur (*ὕπνου κατὰ δνοφερὰς γᾶς εὐνάς*). — *μελανοπτερύγων*: Infra v. 704: *φάσμα μελανόπτερον*, credo quod nocturna quiete visum esset. Tibull. II 1, 90: somnia nigra. Cf. Vossii Epistolas argumenti mythologici Vol. II. p. 35 sq.

v. 72. *ἀποπέμπομαι*] 'Abominor': quo sensu vulgo dicitur *ἀποδιοπομπεῖσθαι*. V. Ruhnken. ad Tim. p. 40. Wyttenb. ad Plutarchi Mor. p. 73 D. T. I p. 267.

v. 76. Verba *εἶδον γάρ*, quae in libro Parisino 2713 omissa sunt, et *ὄψιν ἔμαθον* interpretationis causa adscripta esse post Matthiaeum vidit Hartung.

ὦ χθόνιοι θεοί, σώσατε παῖδ' ἐμόν,
ὃς μόνος οἴκων ἄγκυρ' ἐπ' ἐμῶν
τὴν χιονώδη Θρήκην κατέχει
ξείνου πατρίου φυλακαῖσιν.
ἔσται τι νέον·
ἥξει τι μέλος γοερὸν γοεραῖς.
οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
φρίσσει, ταρβεῖ.
ποῦ ποτε θείαν Ἑλένου ψυχὰν
ἢ Κασάνδραν ἐσίδω, Τρῳάδες,
ὥς μοι κρίνωσιν ὀνείρους;
εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾷ
σφαζομέναν, ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνοίκτως.
καὶ τόδε δεῖμά μοι.
ἦλθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
φάντασμ' Ἀχιλέως,
ᾔτει δὲ γέρας τῶν πολυμόχθων

v. 80. Quod Hecuba Polydorum unum domus suae ancoram vocat Heleno vivo (v. 87), id cadit in matrem dolore et anxietate perturbatam eumque praecipuo amore amplectentem, quem ne amittat maxime metuit. Cfr. v. 810, ubi *ἄπαιδα* se Hecuba dicit, Heleno ac Casandra vivis, et Soph. Ant. 941. — *ἄγκυρα ἐπ' ἐμῶν οἴκων*, 'ancora in domo mea', quae tenet domum meam. Ceterum apte comparavit Porsonus Soph. fr. 619 N. *ἀλλ' εἰσὶ μητρὶ παῖδες ἄγκυραι βίου* et Fr. Jacobsius Heliodor. IV 19 p. 169 *Χαρίκλειά μοι βίος ἦν — Χαρίκλεια μόνη παραψυχὴ καὶ ὡς εἰπεῖν ἄγκυρα.*

v. 81. *χιονώδη*] Androm. 215: *ἀμφὶ Θρήκην χιόνι τὴν κατάρρυτον.*

v. 82. *πατρίου*] Hom. Od. α 175: *ἦ καὶ πατρώϊός ἐσσι ξεῖνος.* Il. ζ 215: *ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός.*

v. 83. Notanda est syllaba anceps in fine monometri anapaestici, qui est idem sententiae. V. Hermann. Elem. doctr. metr. p. 373. Christ. Metr. § 291.

v. 85. *ἀλίαστος*] V. Buttmann. Lexil. I p. 72 sqq.

v. 87. *θείαν*] I. e. *μαντικήν*, divini furoris plenam. V. Heind. ad. Plat. Phaedr. § 22. De eodem Heleno Vergilius Aen. III, 373: *atque haec deinde canit divino ex ore sacerdos. Οἰωνοπόλων ὄχ' ἄριστος* dicitur ab Hom. Il. ζ 76. Cf. Soph. Philoct. 604. — *Κασάνδραν*, non *Κασάνδρας* (*ψυχάν*) scripsit poeta variationis causa.

v. 89. *κρίνωσιν*] De numero verbi vid. Krueg. I § 63, 3, 2.

v. 90. *βαλιὰν*] Interpretis vicem ipse praestat Euripides Iphig. A. 221 (ubi de Eumeli equis): *τοὺς μὲν μέσσους ζυγίους λευκοστίκτῳ τριχὶ βαλιούς.* Cf. Etymol. M. c. 186, 26. Versu seq. notandus usus participiorum *σφαζομέναν* — *σπασθεῖσαν*: 'vidi, cum a meis genibus abrepta caederetur'. Andocides c. Alcib. § 21: *ὁρῶντες Ταυρέαν τοσαῦτα μὲν χρήματα ἀναλώσαντα προπηλακιζόμενον.* Cf. Herc. 1326 sq.

v. 96 sq. Haec diversa videntur

τινὰ Τρωϊάδων.
ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς
πέμψατε, δαίμονες, ἱκετεύω.

ΧΟΡΟΣ.

Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην
τὰς δεσποσύνους σκηνὰς προλιποῦσ',
ἵν' ἐκληρώθην καὶ προσετάχθην
δούλη, πόλεως ἀπελαυνομένη
τῆς Ἰλιάδος, λόγχης αἰχμῇ
δοριθήρατος πρὸς Ἀχαιῶν,
οὐδὲν παθέων ἀποκουφίζουσ',
ἀλλ' ἀγγελίας βάρος ἀραμένη
μέγα, σοί τε, γύναι, κῆρυξ ἀχέων.
ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
λέγεται δόξαι σὴν παῖδ' Ἀχιλεῖ
σφάγιον θέσθαι· τύμβον δ' ἐπιβὰς
οἶσθ' ὅτε χρυσέοις ἐφάνη ξὺν ὅπλοις,

ab eis quae supra v. 40 Polydorus, infra v. 305, 389 sq. Ulixes dicit, ex quibus facile colligas Polyxenam ab Achille nominatim expetitam esse. Sed statuendum est Achillem nihil disertis quidem verbis postulavisse, nisi ut aliqua captivarum mulierum ipsi mactaretur, aut ut tumulum suum ne privarent debito munere (cfr. v. 116 sq.), Polydorum autem, interpretatum illius voluntatem, Polyxenam petitam dicere; id quod Graeci quoque fecerunt, quippe qui de Polyxena statim cogitaverint, quod una tanto heroe dignissima esset. Hecubam vero minime mirum est verborum tantummodo Achillis meminisse neque de filiae nece cogitare, etsi quadam et ipsam suspicione tactam esse apparet. Neque enim solemus admodum acuti esse in iis rebus quas quam longissime a nobis abesse cupimus.

v. 100 sqq. Chorus Troianarum mulierum nuntium affert consilii, quod de Polyxena post maximam principum contentionem ceperint Achivi, et, ut abripiat virginem, affuturum eundem, qui illius decreti auctor suasorque exstiterit, Ulixem.

v. 105. In vocabulo **δοριθήρατος** abundat, adiectis illis **λόγχης αἰχμῇ**, prior compositionis pars: quod genus pleonasmi admodum frequens est apud tragicos. Eur. Bacch. 571: **τὸν τᾶς εὐδαιμονίας ὀλβοδόταν.** Phoen. 328: **ἄπεπλος φαρέων,** ubi consulendus Valckenarius, El. 310: **ἀνέορτος ἱερῶν.** Eiusdem generis similitudinem referunt haec Aeschyli Prom. 791: **οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τόδε,** et quae comparavit Blomfieldius: poterat meminisse etiam Homer. Od. δ 704: **ἀμφασίη ἐπέων.**

v. 112. De **οἶσθ' ὅτε, οἶσθ' ἡνίκα** (v. 239) 'meministi cum' cfr. Krueg. I § 56, 7, 13. **Οἶσθ' ὅτι** simpliciter rem indicat, **οἶσθ' ὅτε** tempus rei, non eius quae nihil afferat nisi notam quandam temporis, quo respiciendum sit aliam simul actam recordanti, sed illius, cuius in memoriam redeundum est. Atque haud inepte Graeci iudicabant, cui de

τὰς ποντοπόρους δ' ἔσχε σχεδίας,
λαίφη προτόνοις ἐπερειδομένας,
τάδε θωΰσσων,
ποῖ δή, Δαναοί, τὸν ἐμὸν τύμβον
στέλλεσθ' ἀγέραστον ἀφέντες;
πολλῆς δ' ἔριδος ξυνέπαισε κλύδων,
δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
στρατὸν αἰχμητήν, τοῖς μὲν διδόναι
τύμβῳ σφάγιον, τοῖς δ' οὐχὶ δοκοῦν.
ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν
τῆς μαντιπόλου βάκχης ἀνέχων
λέκτρ' Ἀγαμέμνων·
τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν,

tempore constaret, eum aliquanto etiam accuratius rem tenere, quam qui actam tantum meminisset.

v. 114. *λαίφη προτόνοις ἐπερειδομένας*] I. e. *αἷς* sive *ὧν τὰ λαίφη προτόνοις ἐπερείδεται.* Herodotus I 180: *τὸ ἄστυ — κατατέτμηται τὰς ὁδοὺς ἰθείας*, id est *αἱ ὁδοὶ τοῦ ἄστεος κατατέτμηνται ἰθεῖαι.* Vid. Krueg. I § 52, 4, 2.

v. 117. *ἀγέραστον*] Vox Homerica: Il. *α* 118: *ὄφρα μὴ οἶος Ἀργείων ἀγέραστος ἔω.*

v. 118. *ξυνέπαισε*] Intransitivam habet potestatem, ut simplex *παίω* apud Aesch. Prom. 885: *θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ Στυγνῆς πρὸς κύμασιν ἄτης*, et alia inde composita: *εἰσπαίειν* Rhes. 560. Soph. Oed. T. 1252. *ἐπεισπαίειν* Aristoph. Plut. 805. Cf. intpp. ad Greg. Cor. p. 403.

v. 119. *δόξα δ' ἐχώρει δίχα*] Id est, ut loquitur Herodotus VI 109 *ἐγίνοντο δίχα αἱ γνῶμαι.* Helen. 758 *ἐς ταὐτὸ κἀμοὶ δόξα μάντεων πέρι χωρεῖ γέροντι.* Iph. T. 1358: *λόγοι δ' ἐχώρουν.*

v. 121. *δοκοῦν*] Casus absolutus. Cf. v. 506. Krueg. I § 56, 9, 5.

v. 122. *σπεύδων*] *ἐπιμελούμενος.* Soph. El. 251: *τὸ σὸν σπεύδουσ' ἅμα καὶ τοὐμὸν αὐτῆς.* Plat. Gorg. p. 455 C: *καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν.* Cf. infra v. 1175. 1201.

v. 123. *βάκχης*] Vatis Cassandrae. Infra v. 676: *τὸ βακχεῖον κάρα τῆς θεσπιῳδοῦ Κασάνδρας.* Eadem *Μαινάς* dicitur El. 1032. Troad. 415. — *ἀνέχων*, colens, honore extollens. Pind. Pyth. II 88: *χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν, ὃς ἀνέχει ποτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος.* Simillimus locus Sophoclis Ai. 211: *λέγ', ἐπεί σε λέχος δουριάλωτον στέρξας ἀνέχει θούριος Αἴας*, de quo mihi quidem subtilius quam verius disputare videtur Hermannus ad Oed. Col. p. 150.

v. 125. *τὼ Θησείδα*] Acamas et Demophon, quos, Homero non memoratos, cyclici poetae et tragici celebraverunt. — In verbis *ὄζω Ἀθηνῶν* facile agnoscis Homericae dictionis vestigia. Non dicuntur autem, ut Hermannus arbitratur, Theseidae inter se dissensisse, sed duabus orationibus unam eandemque sententiam proposuisse. Adamant tragici eiusmodi numeros contra positos, cfr. infra 896, Hel. 731, Soph. Ant. 14, Trach. 539, 941, al.

διςσῶν μύθων ῥήτορες ἦσαν,
γνώμῃ δὲ μιᾷ ξυνεχωρείτην
τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
αἵματι χλωρῷ· τὰ δὲ Κασάνδρας
λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλείας
πρόσθεν θήσειν ποτὲ λόγχης.
σπουδαὶ δὲ λόγων κατατεινομένων
ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων,
κόπις, ἡδυλόγος, δημοχαριστὴς
Λαερτιάδης πείθει στρατιὰν
μὴ τὸν ἄριστον Δαναῶν πάντων
δούλων σφαγίων εἵνεκ' ἀπωθεῖν,
μηδέ τιν' εἰπεῖν παρὰ Περσεφόνῃ
στάντα φθιμένων,
ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων
Τροίας πεδίων ἀπέβησαν.
ἥξει δ' Ὀδυσεὺς ὅσον οὐκ ἤδη
πῶλον ἀφέλξων σῶν ἀπὸ μαστῶν
ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων.
ἀλλ' ἴθι ναούς, ἴθι πρὸς βωμούς,

v. 128. *στεφανοῦν* dicitur ut *στέφειν* Soph. Ant. 431 *χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει,* El. 53 *τύμβον λοιβαῖσι καὶ καρατόμοις χλιδαῖς* (cum zeugmate) *στέψαντες,* quia *χοαί,* quae Aesch. Cho. 95 *στέφη* dicuntur, circumfundebantur tumulo in orbem. Sic Cycl. 517 *στέφανος* de sanguine capiti circumsperso. — *αἵματι χλωρῷ: χλωρὸν αἷμα* apud Soph. Trach. 1055. Cicero interpretatus est decolorem sanguinem, rectius vivum Hermannus. Conf. infra v. 537 ibique annot.

v. 132. *λόγων κατατεινομένων*] Plato de Rep. II p. 367 B: *ἀλλ' ἐγὼ — σοῦ ἐπιθυμῶν ἀκοῦσαι τἀναντία ὡς δύναμαι μάλιστα κατατείνας λέγω.*

v. 134. *κόπις*] Callidus ac veterator. Musgravius confert Lycophr. 763. 1464. Citat hunc locum propter vocabulum *κόπις* Etym. M. c. 529, 24. Vulgo eiusmodi hominem *δημοκόπον* dicebant, v. Dorvill. ad Charit. I 5 p. 58 ed. Amst. Huc respexit etiam Eustathius p. 201, 23 ed. Rom.: *δημοχαριστὴς κατὰ τοὺς τραγικοὺς Ὀδυσσεύς.*

v. 143. *ὅσον οὐκ ἤδη*] Thucyd. VI, 34: *οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται καὶ ἐν πλῷ εὖ οἶδ' ὅτι ἤδη εἰσὶ καὶ ὅσον οὔπω πάρεισι.* Cf. Bacch. 1076. Krueg. I § 67, 14, 5.

v. 144. *πῶλον*] De Polyxena, ut Androm. 621: *κακῆς γυναικὸς πῶλον.* Hipp. 545 de Iole: *τὰν μὲν Οἰχαλίᾳ πῶλον ἄζυγα λέκτρων.* Similiter *μόσχος* v. 205. 526. Iph. A. 1623.

v. 146. Sollemnis arae et templi in eiusmodi locis coniunctio. Androm. 161: *κοὐδέν σ' ὀνήσει*

ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων·
κήρυσσε θεοὺς τούς τ' οὐρανίδας
τούς θ' ὑπὸ γαῖαν.
ἢ γάρ σε λιταὶ διακωλύσουσ'
ὀρφανὸν εἶναι παιδὸς μελέας,
ἢ δεῖ σ' ἐπιδεῖν τύμβου προπετῆ
φοινισσομένην αἵματι παρθένον
ἐκ χρυσοφόρου
δειρῆς νασμῷ μελαναυγεῖ.
ΕΚ. οἴ 'γὼ μελέα, τί ποτ' ἀπύσω;
ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
δειλαία δειλαίου γήρως,
δουλείας τᾶς οὐ τλατᾶς,
τᾶς οὐ φερτᾶς· ὤμοι μοι.
τίς ἀμύνει μοι; ποία γέννα,
ποία δὲ πόλις;
φροῦδος πρέσβυς, φροῦδοι παῖδες.

δῶμα Νηρῆδος τόδε, Οὐ βωμὸς οὐδὲ ναός, ἀλλὰ κατθανεῖ. Ion 1275: ἀλλ' οὔτε βωμὸς οὔτ' Ἀπόλλωνος δόμος Σώσει σε.

V. 147. Numeri anapaesto dactylum excipiente incommodi fiunt meliores, si vel cum Deventero (de interpol. quibusdam in Soph. tr. p. 63) verba in hunc modum transponuntur: Ἀγαμέμνονος ἵζ' ἱκέτις γονάτων vel ἱκτὶς (ἱκτὴρ) pro ἱκέτις scribitur.

v. 149. τούς θ' ὑπὸ γαῖαν] Alc. 895: λῦπαί τε φίλων τῶν ὑπὸ γαῖαν. Aesch. Eum. 952: πότνι' Ἐρινὺς παρά τ' ἀθανάτοις τοῖς θ' ὑπὸ γαῖαν: quos locos indicavit Matthiaeus. Cfr. Krueg. II § 68, 45, 1 et 2. Hic accusativus pertinere videtur ad notionem vocis ad inferos demittendae (καταβοᾶν Soph. El. 1067). Porsonus metri causa contra libros scripsit γαίας, quod ne imitere cavit Seidlerus de Verss. dochm. p. 82.

v. 151. ὀρφανὸν παιδὸς] Structuram usumque vocis haec illustrant exempla: Androm 308: τεκέων ὀρφανοὶ γέροντες. conf. Pind. Ol. IX 65. El. 914: ὀρφανὴν φίλου πατρός. Or. 1136: νύμφας τ' ἔθηκαν ὀρφανὰς ξυναόρων.

v. 154. Apte Porsonus comparavit Hom. Il. β 872: ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν, ἠΰτε κούρη et Athen. XIII 564 B.

V. 155. Huius monodiae primarius numerus est anapaesticus, non eius generis, quod legitimum vocant, sed liberiorum; admixti sunt autem aliquot versus dactylici (cfr. Christ. Metr. § 284 p. 273 sq.), iambici, dochmiaci.

V. 157. De genetivo cfr. Krueg. I § 47, 3, 2.

v. 160. Quia γέννα secundam alibi semper corripiat, Porsonus dubitat, an γενεά legendum sit. Alii eam adhibendam putant excusationem quae valet in exclamationibus cl. Iph. T. 154. Dindorfius poetam censet ultimam produxisse ut Pindarum Ol. IX 122, XIII 14 τόλμα.

v. 162. φροῦδος] Occidit. Troad. 40: φροῦδος δὲ Πρίαμος καὶ τέκνα. Eadem vis verborum οἴχεσθαι, βεβηκέναι.

ποίαν, ἢ ταύταν ἢ κείναν,
στείχω; ποῖ δ' ἥσω; ποῦ τις θεῶν
ἢ δαίμων ἔστ' ἐπαρωγός;
ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες, ὦ
κάκ' ἐνεγκοῦσαι
πήματ', ἀπωλέσατ', ὠλέσατ'· οὐκέτι μοι βίος
ἀγαστὸς ἐν φάει.
ὦ τλάμων, ἄγησαί μοι, πούς,
πούς, ἄγησαι τᾷ γραίᾳ
πρὸς τάνδ' αὐλάν· ὦ τέκνον, ὦ παῖ
δυστανοτάτας ματέρος, ἔξελθ',
ἔξελθ' οἴκων· ἄϊε ματέρος
αὐδάν, ὦ τέκνον, ὡς εἰδῇς
οἵαν οἵαν
ἀΐω φάμαν περὶ σᾶς ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

ἰώ,
μᾶτερ, μᾶτερ, τί βοᾷς; τί νέον
καρύξασ' οἴκων μ', ὥστ' ὄρνιν,

v. 163. **ποίαν**] De supplenda voce **ὁδόν** v. Krueg. I § 43, 3, 3.

v. 164. **ποῖ δ' ἥσω;**] Seidlerus supplet **ἐμαυτόν** coll. Lobeckii annotatione ad Soph. Ai. p. 258 sq., ubi de intransitiva potestate verborum ab **ἰέναι** compositorum agitur. Rectius alii memoriam librorum corruptam iudicant et Reiskius eleganter coniecit **ἥσω πόδα; τίς θεῶν** (cfr. Rhes. 798 **ἵεσαν φυγῇ πόδα**). Bonae memoriae vestigia Porsonus sibi deprehendisse videtur in loco Dionysii Hal. de comp. verb. c. 17 p. 210 ed. Schaef. **σπονδεῖος ἀξίωμα ἔχει μέγα καὶ σεμνότητα πολλήν· παράδειγμα δὲ αὐτοῦ τόδε· ‘ποίαν δῆθ' ὁρμάσω; ταύταν ἢ κείναν, κείναν ἢ ταύταν;’**, unde hanc elicit lectionem: **Στείχω; ποίαν δῆθ' ὁρμάσω; Ποῦ μοι τις θεῶν Ἢ δαίμων ἐστὶν ἀρωγός;** Atque **ἥσω** ex productiore vocabulo depravatum esse, comprobatur lectione v. sq. quam libri non interpolati exhibent **ἢ δαιμόνων ἐπαρωγός**. Cum enim appareat **δαιμόνων** post **θεῶν** aequabilitatis causa ortum esse ex **δαίμων** quod de Musgravii coniectura restitutum est, (cfr. El. 1234 **φαίνουσί τινες δαίμονες ἢ θεῶν τῶν οὐρανίων**, Aesch. Ag. 358, Eum. 70, Soph. El. 199, Ai. 243), omnia sana sunt, si legimus: **Ποίαν, ἢ ταύταν ἢ κείναν, Στείχω; ποῖ δῆθ' ὁρμάσω; τίς θεῶν ἢ δαίμων ἐπαρωγός;**

v. 166. **κάκ' ἐνεγκοῦσαι**] Malorum nuntiae: quo sensu satis frequens verbum **φέρειν**, ut in Phoen. 1072: **ὦ φίλτατ', ἥπου ξυμφορὰν ἥκεις φέρων;**

v. 172. Ridet hunc locum Aristoph. Nub. 1165, ubi filium Strepsiades compellat his verbis: **ὦ τέκνον, ὦ παῖ, Ἔξελθ' οἴκων, ἄϊε σοῦ πατρός.**

v. 179. Sensus potius flagitare videtur **καρύξουσ'**, ‘quid novi pronuntiatura?’ — **ὥστ' ὄρνιν:**

θάμβει τῷδ' ἐξέπταξας;
ΕΚ. ἰώ μοι, τέκνον.
ΠΟΛ. τί με δυσφημεῖς; φροίμιά μοι κακά.
ΕΚ. αἰαῖ, σᾶς ψυχᾶς.
ΠΟΛ. ἐξαύδα, μὴ κρύψῃς δαρόν.
δειμαίνω, δειμαίνω, μᾶτερ,
τί ποτ' ἀναστένεις;
ΕΚ. τέκνον, τέκνον μελέας ματρός.
ΠΟΛ. τί τόδ' ἀγγέλλεις;
ΕΚ. σφάξαι σ' Ἀργείων κοινὰ
ξυντείνει πρὸς τύμβον γνώμα
Πηλείδᾳ γέννᾳ.
ΠΟΛ. οἴμοι, μᾶτερ, πῶς φθέγγει
ἀμέγαρτα κακῶν; μάνυσόν μοι,
μάνυσον, μᾶτερ.
ΕΚ. αὐδῶ, παῖ, δυσφάμους φάμας·
ἀγγέλλουσ' Ἀργείων δόξαι
ψήφῳ τᾶς σᾶς περί μοι ψυχᾶς.
ΠΟΛ. ὢ δεινὰ παθοῦσ', ὢ παντλάμων,

animal pavore conspicuum. Herc. 974: *ἄλλος δὲ βωμόν, ὄρνις ὥς, ἔπτηξ' ὕπο.* Cycl. 407: *ἄλλοι δ' ὅπως ὄρνιθες ἐν μυχοῖς πέτρας Πτήξαντες εἶχον.* Iungenda autem *οἴκων μ' ἐξέπτηξας. Ἐκπτήσσειν* active dixit praeeunte Homero Il. ξ 40. Ceterum structura similis Ion 635: *οὐδέ μ' ἐξέπληξ' ὁδοῦ Πονηρὸς οὐδείς.* De *θάμβει τῷδε* cfr. Soph. Ai. 895 *ὁρῶ Τέκμησσαν οἴκτῳ τῷδε συγκεκραμένην.*

v. 182. *φροίμιά μοι κακά*] Usitata haec formula, ubi quis ex alterius initio orationis mala nuntiaturum suspicatur. Troad. 712: *τί δ' ἔστιν, ὥς μοι φροιμίων ἄρχει κακῶν;* cf. Phoen. 1336. Hipp. 568. Dorvill. ad Charit. p. 443.

v. 183. De genetivo v. Krueg. I § 47, 3, 2.

v. 184. Hom. Il. α 363: *ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.* Mox *δειμαίνω, τί ποτ' ἀναστένεις* brevius dictum, cum sensus sit: metuo, dum dubito, quid tandem ingemiscas. Explicuit hanc rationem, non neglecto hoc loco, Lobeckius ad Sophoclea illa Ai. 793: *ὥστε μ' ὠδίνειν, τί φής.*

v. 190 sq. *ξυντείνει, σπεύδει. Πηλείδᾳ γέννᾳ*, Peleiae proli i. e. Achilli. Paleius conicit *Πηλείᾳ.*

v. 193. *ἀμέγαρτα κακῶν;*] Soph. Oed. Col. 1238: *κακὰ κακῶν.* De voc. *ἀμέγαρτος* disputavit Buttmannus Lexil. I. p. 258 sqq.

v. 195. Recte Reisigius in Coniect. I p. 288 sq. iussit v. 195—197 et 189—191 suas in vicem sedes permutare. Nam absurdum est Hecubam, cum v. 189—191 verbis satis perspicuis Polyxenae consilium Argivorum declaraverit, iterum sciscitanti filiae tantum non aenigmata reddere ac tanquam de re obscura et incerta loqui. Praeterea Hartungius ver-

ὦ δυστάνου μᾶτερ βιοτᾶς,
οἵαν οἵαν αὖ σοι λώβαν
ἐχθίσταν ἀρρήταν τ'
ὦρσέν τις δαίμων;
οὐκέτι σοι παῖς ἅδ', οὐκέτι δὴ
γήρᾳ δειλαία δειλαίῳ
ξυνδουλεύσω.
σκύμνον γάρ μ' ὥστ' οὐριθρέπταν,
μόσχον δειλαία δειλαίαν
εἰσόψει χειρὸς ἀναρπαστὰν
σᾶς ἄπο λαιμότομόν θ' Ἅιδᾳ
γᾶς ὑποπεμπομέναν σκότον, ἔνθα νεκρῶν μέτα
τάλαινα κείσομαι.
καὶ σοῦ μέν, μᾶτερ, δυστάνου
κλαίω πανδύρτοις θρήνοις,
τὸν ἐμὸν δὲ βίον, λώβαν λύμαν τ',
οὐ μετακλαίομαι. ἀλλὰ θανεῖν μοι
ξυντυχία κρείσσων ἐκύρησεν.

ΧΟ. *καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδός*
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.

ΟΔΥΣΣΕΥΣ.

γύναι, δοκῶ μέν σ' εἰδέναι γνώμην στρατοῦ
ψῆφόν τε τὴν κρανθεῖσαν· ἀλλ' ὅμως φράσω.

sus qui praecedunt in hunc ordinem redigendos censet: 181. 186. 183. 188. 187. 182. 184. 185. Certe versuum 183 et 187 locus permutandus videtur.

v. 199. De genetivo *δυστάνου βιοτᾶς* quem dicunt qualitatis cfr. Krueg. II § 47, 5, 2.

v. 202. *παῖς ἅδ'*] I. e. *ἐγώ*. V. Schaefer. Melet. crit. p. 114.

v. 206. *ἀναρπαστὰν*] E tua manu raptam ac de medio sublatam. Soph. El. 848: *ὅς γὰρ ἔτ' ἦν, φροῦδος ἀναρπασθείς*. Cf. Dorvill. ad Charit. p. 416.

v. 210. *κείσομαι*] Eximie hoc verbum de mortuis ponitur. Soph. Antig. 76: *ἐκεῖ γὰρ ἀεὶ κείσομαι*. Eurip. Phoen. 1282: *θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι*. Suppl. 1063: *πόσει γὰρ συνθανοῦσα κείσομαι*, Hom. Od. χ 48 *ἀλλ' ὁ μὲν ἤδη κεῖται* et aliis locis.

v. 211. Ad genetivum *σοῦ δυστάνου* ex v. 213 *τὸν βίον* adsumendum est.

v. 214. *οὐ μετακλαίομαι* idem fere quod *οὐκ αὖ κλαίομαι*. Nam *μετὰ* ad vicissitudinem lamentationis ab alio ad alium versae pertinet. Cfr. Med. 996 *μεταστένομαι δὲ σὸν ἄλγος, ὦ τάλαινα παίδων μᾶτερ*, quibus chorus antea Iasonem commiseratus iam Medeam commiseratur.

v. 217. *νέον ἔπος*, 'novam rem'. Saepius quam *ἔπος* significat *λόγος* rem verbis expositam vel exponendam.

v. 219. *κρανθεῖσαν*] Troad. 784: *ὅθι σοι Πνεῦμα μεθεῖναι*

ἔδοξ' Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου.
ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
τάσσουσιν εἶναι· θύματος δ' ἐπιστάτης
ἱερεύς τ' ἐπέστη τοῦδε παῖς Ἀχιλλέως.
οἶσθ' οὖν ὃ δρᾶσον; μήτ' ἀποσπασθῇς βίᾳ
μήτ' ἐς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί·
γίγνωσκε δ' ἀλκὴν καὶ παρουσίαν κακῶν
τῶν σῶν. σοφόν τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν.

ΕΚ. αἰαῖ· παρέστηχ', ὡς ἔοικ', ἀγὼν μέγας,
πλήρης στεναγμῶν, οὐδὲ δακρύων κενός.
κἀγὼ γὰρ οὐκ ἔθνῃσκον οὗ με χρῆν θανεῖν,
οὐδ' ὤλεσέν με Ζεύς, τρέφει δ', ὅπως ὁρῶ
κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
εἰ δ' ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
μὴ λυπρὰ μηδὲ καρδίας δηκτήρια
ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεών,

ψῆφος ἐκράνθη. Androm. 1271: πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν Ψῆφος κέκρανται, κατθανεῖν τ' ὀφείλεται.

v. 223. Iunge: θύματος δὲ τοῦδε ἐπιστάτης etc. De ἐπιστάτης cfr. Iph. T. 726 τοῖς ἐφεστῶσι σφαγῇ. Androm. 547 ὑμᾶς ἐρωτῶ τόν τ' ἐφεστῶτα σφαγῇ, Herod. VII 35 τῶν ἐπεστεώτων τῇ ζεύξι τοῦ Ἑλλησπόντου. — ἐπέστη, ἐτάχθη, ἐχειροτονήθη, 'institutus est'. Non male Nauckius ἐπέσται.

v. 225. οἶσθ' οὖν ὃ δρᾶσον;] Scisne igitur quid facere te velim? Originem huius dictionis explicuit Hermannus ad Vig. p. 740 ex traiectione verborum, quorum hic ordo esse debuerat: δρᾶσον οἶσθ' ὅ; Exempla vide collecta ab Elmsl. ad Soph. Oed. T. 543. Cfr. etiam Krueg. II § 54, 4, 2. — ἀποσπασθῇς, ἀφαιρεθῇς. Sophocl. Oed. Col. 866: ὅς μ', ὦ κάκιστε, ψιλὸν ὄμμ' ἀποσπάσας Πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχει βίᾳ.

v. 227. γίγνωσκε δ' ἀλκήν] Considera, quid virium habeas, id est, reputa omni te destitutam praesidio. Androm. 126: γνῶθι τύχαν, λόγισαι τὸ παρὸν κακόν.

v. 228. σοφόν τοι] „Particulam τοι in gnomis amant tragici.“ Porsonus. Vid. Heind. Plat. Protag. p. 597.

v. 231. L. Dindorfius coniecit κἄγωγ' ἄρ', in quibus quamvis ἄρα probetur, particula γὲ non habet quo pertineat, cum καὶ diversam rationem significet. Traditae lectionis sensus est: Grave instat certamen. Nimirum cum item mori debuerim ubi Priamus, Hector, alii mortui sunt, ego ad graviora mala conservata sum.

v. 235. De genetivo relationis καρδίας cfr. Soph. O. R. 150 Φοῖβος.. σωτὴρ θ' ἵκοιτο καὶ νόσου παυστήριος, Krueg. II § 47, 26, 7.

v. 236. σοὶ μὲν — τάδε] Genere dicendi Graecis sollemni sententiae subiungendae opposi-

ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.
ΟΔ. ἔξεστ', ἐρώτα· τοῦ χρόνου γὰρ οὐ φθονῶ.
ΕΚ. οἶσθ', ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;

tae sunt. Nam sensus est: *ἡμᾶς τοὺς τάδε ἐρωτῶντας τὰ ὑπὸ σοῦ εἰρημένα ἀκοῦσαι χρεών* sive 'nos haec quae in mente habemus interrogantes a te responsa ferre aequum est'. De *εἰρῆσθαι χρεών* effectum anticipante, cui simile est latinum, 'responso opus est' cfr. Demosth. VI § 19 *βέλτιον δ' ἴσως καὶ πρὸς ὑμᾶς ἐστιν εἰρῆσθαι* et quae Rehdantzius in ed. Demosth. or. Philipp. ind. II sub infin. collegit. Quod igitur Weilius coniecit *σὲ μὲν ἐρωτᾶσθαι* vel Herwerdenus *σὲ μὲν ἀμείβεσθαι*, non est necessarium. — *τοὺς ἐρωτῶντας*: constat feminam de se ipsa plurali numero utentem genere masculino uti. Krueg. I § 43, 1, 3.

v. 238. *τοῦ χρόνου γὰρ οὐ φθονῶ*] Hoc vult, moram facile se condonare; nihil enim nisi moram ipsi percontando Hecubam inferre, decretum Argivorum labefactare non posse. De constructione verbi *φθονεῖν* cf. Xen. Conviv. I 12: *ἀλλὰ μέντοι, ὦ ἄνδρες, αἰσχρὸν στέγης γε φθονῆσαι*. Plat. Protag. p. 327 A. al.

v. 239—241. Auctor narrationis de Ulixe speculatoris habitu Troiam ingresso est Homerus Od. δ 242 sqq. cf. Lycophr. 779 sqq. Vers. 240 sq. scribi poterat: *ὀμμάτων τ' ἄπο φόνου σταλαγμοῖς σὴν καταστάζων γένυν* (cf. Wyttenb. ad Plutarch. T. I p. 336), idque ad grammaticam rationem paullo accuratius: nunc, quod alibi etiam fieri observatum est ad Med. v. 11, intulit verbum finitum, ususque simul est alia constructione verbi *καταστάζειν*, qua referretur ad *σταλαγμοί*. Sed hoc levius, nec monuissem, nisi cavendum videretur, ne quem in partes traheret Porsonus, prius *τε* si cui displiceret, legi posse existimans *δυσχλαινίαις ἄμορφος*. Illud haud exiguas interpretum turbas excitavit, quaenam esset his verbis, *ὀμμάτων τ' ἄπο — γένυν*, sententia subiecta. Ac plerique corruptum locum iudicaverunt, et Musgr. coni. *δόλου*, Porsonus *φόβου*. Est vero, me iudice, sanissimus et cum Jacobsio explicandus de corporis laceratione, qua, ne agnosceretur, usus tum erat Ulixes. De Furiis Aeschylus Choeph. 1058: *κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές*. Sed hoc loco *ὀμμάτων ἄπο* minus urgendum, neque ipsi magis oculi, quam *τὰ ὑπώπια* intellegenda. Egregie in hanc rem facit Iphig. T. 1373: *ἐφεύγομεν πρὸς κρημνόν, οἱ μὲν ἐν κάρᾳ Κάθαιμ' ἔχοντες τραύμαθ', οἱ δ' ἐν ὄμμασιν*. Is, credo, habitus atque ea deformitas oris verberibus caesi decent hominem infimae sortis, cuius tum falsam speciem *πολύτλας* ille induerat. Sed haec hactenus. Commemoranda est enim interpretatio Schol., quam exornavit Boissonadius, cui assentitur Matthiaeus. *Τὰ δάκρυα*, inquit, *ἃ τότε ὁ Ὀδυσσεὺς ἐδάκρυε φωραθείς, φόνου δάκρυα ἦν· ἔκλαιε γάρ, ἐπειδὴ τὸν περὶ ψυχῆς ἔτρεχεν· ὅθεν καὶ ἐν τῇ συνηθείᾳ αἱμάτινα δάκρυά φαμεν, ἤγουν φονικά*. Proverbialem locutionem *αἵματι κλαίειν* commemorant Photius Epist. 138. Apostol. Adag. I, 85. Bekker. Anecd. Gr. I. p. 356, 13. Cf. Bast. ad Greg. Corinth. p. 583. Ego tamen dubito, an

ΟΔ. οἶδ'· οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
ΕΚ. ἔγνω δέ σ' Ἑλένη, καὶ μόνῃ κατεῖπ' ἐμοί;
ΟΔ. μεμνήμεθ' ἐς κίνδυνον ἐλθόντες μέγαν.
ΕΚ. ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
ΟΔ. ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
ΕΚ. τί δῆτ' ἔλεξας δοῦλος ὢν ἐμὸς τότε;
ΟΔ. πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.
ΕΚ. ἔσωσα δῆτά σ' ἐξέπεμψά τε χθονός;
ΟΔ. ὥστ' εἰσορᾶν γε φέγγος ἡλίου τόδε.
ΕΚ. οὔκουν κακύνει τοῖσδε τοῖς βουλεύμασιν,
ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες οἷα φῂς παθεῖν,
δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;
ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
ζηλοῦτε τιμάς· μηδὲ γιγνώσκοισθέ μοι,
οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι
ἐς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;

formula ex cotidiano sermonis usu repetita a tragicorum oratione aliena sit.

v. 242. Non oblitus sum; nam illa res quae valde sollicitum me habebat alte descendit in pectus. Cfr. Iph. T. 819 *οἶδ'· οὐ γὰρ ὁ γάμος ἐσθλὸς ὤν μ' ἀφείλετο.* De formula *ψαύειν καρδίας* cf. ad Med. 55.

v. 243. Eustath. ad Od. δ p. 1495, 5 *ὅρα, ὅτι πολὺ πιθανώτερος ὁ Ὁμηρικὸς οὗτος ὑπὸ μόνης Ἑλένης ἀναγνωρισμὸς ἤπερ ὁ κατὰ Εὐριπίδην, ἐν ᾧ καὶ τῇ Ἑκάβῃ κατεῖπεν ἡ Ἑλένη.*

v. 245. *ταπεινός* de supplice, ut Or. 1410: *ὄμμα δακρύοις πεφυρμένοι ταπεινοὶ ἕζοντο.* Androm. 165: *πτῆξαι ταπεινὴν προσπεσεῖν τ' ἐμὸν γόνυ.*

v. 246. *ὥστ' ἐνθανεῖν γε*] Particula *γέ* et hoc loco et saepe in responsionibus ita ponitur, ut et confirmet quod alter dixerat, et novum quid ac saepe maius adiungi indicet. Cf. v. 250. Or. 1122. Phoen. 1344. Plura suppeditant Elmsleius ad Iph. T. 934 et Fritzschius Quaest. Lucian. p. 119 sq. Manus autem dicitur *ἐνθανεῖν πέπλοις*, quippe tam firmiter inhaerens, ut obriguisse videatur. Magis proprie, sed accommodate tamen ad perspiciendum verbi usum, Achilles Tatius III 7 p. 64, 27: *καὶ ἐοίκασιν ἀποθνήσκειν οἱ δάκτυλοι.*

v. 247—250. Hunc versuum ordinem recentiores nonnulli libri habent. In melioribus libris v. 249. 250 post v. 246 collocati sunt, ut facile suspiceris, duos v. 247. 248 dittographiam quam dicunt esse versuum 245. 246 et eici debere.

v. 253. *ὅσον δύνῃ;*] 'Magis Attica forma *δύνᾳ.*' Porsonus. Sequentia tetigit de abusu eloquentiae in Attica republica disputans Valckenarius in Diatrib. p. 255 C.

v. 258. Quid speciosae rationis rati id quod praetexunt ad tumulum Achillis Polyxenam immolari debere.

πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποσφαγεῖν
πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων
ἐς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρῆν τάφῳ προσφάγματα·
κείνη γὰρ ὤλεσέν νιν ἐς Τροίαν τ' ἄγει.
εἰ δ' αἰχμαλώτων χρή τιν' ἔκκριτον θανεῖν
κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε·
ἡ Τυνδαρὶς γὰρ εἶδος ἐκπρεπεστάτη,
ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧσσον ηὑρέθη.
τῷ μὲν δικαίῳ τόνδ' ἁμιλλῶμαι λόγον·
ἃ δ' ἀντιδοῦναι δεῖ σ', ἀπαιτούσης ἐμοῦ,
ἄκουσον. ἥψω τῆς ἐμῆς, ὡς φῄς, χερὸς
καὶ τῆσδε γραίας προσπίτνων παρηΐδος·
ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγώ,
χάριν τ' ἀπαιτῶ τὴν τόθ', ἱκετεύω τέ σε,
μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
μηδὲ κτάνητε. τῶν τεθνηκότων ἅλις·

v. 260. *τὸ χρῆν*, pro *χρῆναι*, agnoscit et notat Eustathius ad Odyss. K p. 1647, 37. Il. I p. 751, 54. Hanc formam putat H. L. Ahrensius de crasi et aphaeresi p. 6 rariore contractionis genere ex *χρεών* ortam esse ut *πάρηρος*, *ξυνήν* ex *παρήορος*, *ξυνήων*. Sed cum cod. Flor. Herc. 828 *τὸ χρή* habeat, recte videtur Nauckius in stud. Eur. II p. 7 etiam hic *τὸ χρὴ* requirere. Formas quidem *χρείη*, *χρῆναι*, *χρῆσται*, *χρεών* ex indecl. *χρή* et *εἴη*, *εἶναι*, *ἔσται*, *ὄν* compositas esse idem Ahrensius docuit. De forma *χρῆν* saepe a librariis depravata cfr. mea studia in Eur. in Jahrb. f. class. Philol. Suppl. VII p. 367.

v. 265. *προσφάγματα*] Notabilis Graecorum consuetudo appositionem ad nomen singularis numeri accommodatam plurali numero proferendi, Orest. 1053: *καὶ μνῆμα δέξαιθ' ἕν, κέδρου τεχνάσματα*, ubi v. Porsonus. Cf. Krueg. II § 44, 3, 4.

v. 268. *ὑπερφέρουσαν*] Xenoph. de rep. Lac. XV 3: *μήτε δεῖσθαι τῶν μετρίων, μήτε πλούτῳ ὑπερφέρειν*. Cf. ibid. XV 8. Thucyd. I 81. Porson. ad h. l.

v. 271. *τῷ — — λόγον*] I. e. *τήνδε τὴν ἅμιλλαν λόγου ἁμιλλῶμαι τῷ δικαίῳ*, cum iure pugno his verbis (gegen das Recht trete ich mit diesen Worten in die Schranken), i. e. his rationibus quod vobis vindicatis ius revinco. Cf. Eur. Hipp. 971: *τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις;* V. C. Fr. R.

v. 275. *ἀνθάπτομαι*] hic significat 'vicissim prehenso' ut Herod. III 137.

v. 278. *μηδὲ κτάνητε*] Recte ad pluralem transiit: nam *ὁ ἀποσπάσων* unus est Ulixes, *οἱ ἀποκτενοῦντες* omnes Graeci, quorum consensu caedes decreta.

ταύτῃ γέγηθα κἀπιλήθομαι κακῶν·
ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχή,
πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεών,
οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί.
κἀγὼ γὰρ ἦ ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι,
τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.
ἀλλ', ὦ φίλον γένειον, αἰδέσθητί με,
οἴκτειρον· ἐλθὼν δ' εἰς Ἀχαιικὸν στρατὸν
παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος
γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε
βωμῶν ἀποσπάσαντες, ἀλλ' ᾠκτείρατε.
νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος
καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃ, τὸ σὸν

v. 279 recte delevisse videtur Nauckius ut ex Orest. 66 huc translatum.

v. 281. Colorem duxisse videtur ex Hom. Iliad. ζ 429: Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ, Ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης. Cf. Xenoph. Anab. I 3, 6. Andocid. de myst. § 140. Simillimum Euripidis locum apud Alexandrum Rhetorem vol. 8. p. 440 Walz. conservatum laudavit Porsonus: ἀλλ' ἥδε μ' ἐξέσωσεν· ἥδε μοι τροφός, Μήτηρ, ἀδελφή, δμωΐς, ἄγκυρα, στέγη. Dicit autem πόλις, quia filia etiam patriae amissae solatium est.

v. 283. Parum recte ex τοὺς κρατοῦντας articulum ad εὐτυχοῦντας adsumpseris et τοὺς εὐτυχοῦντας subiectum iudicaveris. Potius τοὺς κρατοῦντας etiam alterius enuntiati subiectum putari debet.

v. 284. κἀγὼ γὰρ ἦ ποτ'] Subaudiendum ex praecedentibus εὐτυχής vel εὐτυχοῦσα.

v. 286. ὦ φίλον γένειον] Compellatio ducta a more habituque supplicum, quem discas ex Hom. Il. α 500 sqq. Hinc frequens illa obtestandi formula, πρὸς γενείου vel γενειάδος, infra v. 753. Med. 65. Suppl. 277. Cf. Orest. 290. Androm. 574 cet.

v. 288. φθόνος] ἡ μέμψις, interprete Schol. Aristoph. Plut. 87. Homericum νέμεσις, νεμεσσητόν.

v. 293. Κακῶς λέγειν licebat interpretari in hunc sensum, quo alibi dicitur ἀπιθάνως λέγειν. Sic Troad. 914: ἴσως με, κἂν εὖ κἂν κακῶς δόξω λέγειν, Οὐκ ἀνταμείψει. Quod qui secuti sunt, his sane necesse erat corrigere lectionem libris omnibus Euripidis et Gellii (N. A. XI 4) et Stobaei (flor. 45, 6) contestatam λέγῃ et cum Mureto (Opp. T. III p. 593) et Wassio (Misc. Obss. II p. 93) in λέγῃς mutare. Etenim quemadmodum recte dicitur τὸ ἀξίωμα τὸ σὸν πείσει, 'tu pro auctoritate tua persuadebis,' ita ineptam habet sententiam illud alterum, τὸ ἀξίωμα τὸ σὸν κακῶς λέγει, 'parum probabiliter dicis, quatenus magnam auctoritatem habes': nisi si quis de eiusmodi homine loquatur, cuius fidei gravitas officiat, quod caderet in Antiphontem illum Rhamnusium, formidabilis eloquen-

πείσει· λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν
κἀκ τῶν δοκούντων αὑτὸς οὐ ταὐτὸν σθένει.
ΧΟ. οὐκ ἔστιν οὕτω στερρὸς ἀνθρώπου φύσις,
ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
κλύουσα θρήνους οὐκ ἂν ἐκβάλοι δάκρυ.
ΟΔ. Ἑκάβη, διδάσκου, μηδὲ τῷ θυμουμένῳ
τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
ἐγὼ τὸ μὲν σὸν σῶμ', ὑφ' οὗπερ ηὐτύχουν,
σῴζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω·
ἃ δ' εἶπον εἰς ἅπαντας οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.
ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ

tiae virum, non cadit hoc loco in Ulixem. Alia res est, si verba illa *κακῶς λέγειν* non de iis accipiamus, quae quis minus diserte dicat, sed de rebus, quae ab eorum, qui audiunt, utilitate abhorreant. Ac fieri hoc posse docuit Matthiaeus coll. Phoen. 1649: *οὐκ, ἦν πονηρά γ' ᾖ κακῶς τ' εἰρημένα.* Iam vero illud etiam recte dicitur, *τὸ ἀξίωμα τὸ σὸν κακῶς λέγει*, siquidem auctoritatis vis non in bonarum tantum rerum commendatione cernitur, sed eadem uti licet vel potius abuti ad malas ac parum commodas obtinendas.

v. 295. *Οἱ δοκοῦντες*, nobiles, ut apud Pind. Nem. VII, 30: *ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀΐδα, πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντα.* Noster Troad. 612: *ὁρῶ τὰ τῶν θεῶν, ὡς τὰ μὲν πυργοῦσ' ἄνω Τὸ μηδὲν ὄντα, τὰ δὲ δοκοῦντ' ἀπώλεσαν.* Heracl. 895: *τερπνὸν δέ τι καὶ φίλων ἄρ' εὐτυχίαν ἰδέσθαι τῶν πάρος οὐ δοκούντων.*

v. 296. *οὕτω στερρὸς — ἥτις*] Helen. 501: *ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας, Ὃς ὄνομ' ἀκούσας τοὐμὸν οὐ δώσει βοράν.* Vid. Schaef. Melet. crit. p. 71. Appar. crit. ad Demosth. T. II p. 531.

v. 269. *διδάσκου*] 'Docilem te praebe', Aristoph. Plut. 473: *καὶ σύγε διδάσκου.* — *τῷ θυμουμένῳ*, i. e. *τῷ θυμῷ* 'propter iram'. Attigit Reisigius Coniect. I p. 143, cf. Krueg. I § 43, 4, 28. Mox iunge *ποιοῦ φρενί*, 'existima': *ποιεῖσθαι* enim i. q. *ἡγεῖσθαι.* Thucyd. IV 82: *Περδίκκαν πολέμιον ποιοῦνται*, 'hostem iudicant'. Sic *δεινὸν ποιεῖσθαι* Herodot. I 127. Thucyd. I 102. VI 60. *οὐκ ἀνασχετὸν ποιεῖσθαι* Thucyd. I 118.

v. 303 sqq. *ἃ δ' εἶπον — σὴν παῖδα δοῦναι*] Vulgo supplent *δεῖν*, cuiusmodi ellipsi opus non esse monuit Herm. ad Vig. p. 745. Orest 269: *οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεάς.* 914: *ὃς εἶπ' Ὀρέστην καὶ σ' ἀποκτεῖναι πέτροις.* — *εἰς ἅπαντας.* Suppl. 668: *κῆρυξ δὲ Θησέως εἶπεν ἐς πάντας τάδε.* Vid. Porsoni Adversaria p. 273 ed. Lips. Adhibetur structura *λέγειν εἰς* nominibus quae multitudinem exprimunt, cuius quasi in medium vocem dirigas (*εἰς τὸ πλῆθος, τὸν δῆμον, τὴν βουλήν, τὴν στρατιάν, τὴν πόλιν, ὑμᾶς, τὸ μέσον*).

μηδὲν φέρηται τῶν κακιόνων πλέον.
ἡμῖν δ' Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ' ἀνήρ.
οὔκουν τόδ' αἰσχρόν, εἰ βλέποντι μὲν φίλῳ
χρώμεσθ', ἐπεὶ δ' ἄπεστι, μὴ χρώμεσθ' ἔτι;
εἶεν· τί δῆτ' ἐρεῖ τις, ἤν τις αὖ φανῇ
στρατοῦ τ' ἄθροισις πολεμίων τ' ἀγωνία;
πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
καὶ μὴν ἔμοιγε ζῶντι μέν, καθ' ἡμέραν
κεἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι·
τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις.
εἰ δ' οἰκτρὰ πάσχειν φής, τάδ' ἀντάκουέ μου.
εἰσὶν παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
γραῖαι γυναῖκες ἠδὲ πρέσβυται σέθεν,
νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,

v. 308. *μηδὲν φέρηται — πλέον*] Orest. 660: *δεῖ γάρ σ', ἐμοῦ πράσσοντος ὡς πράσσω τὰ νῦν, Πλέον φέρεσθαι.* Sic victores dicuntur *τὰ πρῶτα, τὰ δεύτερα φέρεσθαι.* Rhes. 162: *ἄξιον μισθὸν φέρεσθαι*, a quo *μισθοὺς φέρειν* Eurip. Bacch. 257 quodam sensus discrimine distinguit Reisig. ad Oed. Col. p. XXVII. Anthol. Palat. V 108: *καὶ ἐς εἶδεος ὥρην Ἄκρα καὶ εἰς ψυχῆς ἦθος ἐνεγκαμένη.* Singulare illud Parrhasii Ep. I 4. Anal. Br. II p. 60: *Ἑλλήνων πρῶτα φέροντα τέχνης.* De sententia cfr. Creontis verba Soph. Ant. 207 *οὔποτ' ἔκ γ' ἐμοῦ τιμὴν προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων.*

v. 309. *ἡμῖν — ἄξιος τιμῆς*] Ita de nobis meritus est Achilles, ut dignus honore videatur. Xenoph. Memor. I 2, 62: *ἐμοὶ μὲν δὴ Σωκράτης τοιοῦτος ὢν ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλων ἢ θανάτου.* Ibid. § 64: *ταῦτα δὲ πράττων πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει.* Cf. Porson. ad h. l.

v. 310. *κάλλιστ' ἀνήρ*] Saepius nomen *ἀνὴρ* superlativo additur ad vim augendam cum *εἷς* coniunctum, ut Soph. O. R. 1380 *κάλλιστ' ἀνὴρ εἷς.*

v. 311. *βλέποντι*] Viventi. Iph. T. 718: *ἐπεί σ' ἐγὼ Θανόντα μᾶλλον ἢ βλέπονθ' ἕξω φίλον.* Troad. 632: *οὐ ταὐτόν, ὦ παῖ, τῷ βλέπειν τὸ κατθανεῖν.* Cf. Soph. Aiac. 1067.

v. 319. *ἀξιοῦν* hoc loco absolute positum honorandi significatione, ut apud Aesch. Agam. 903: *τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν.* Eurip. Orest. 1210: *καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.* His adde, quos Porsonus laudavit locos, Soph. Ai. 1114: *οὐ γὰρ ἠξίου τοὺς μηδένας*, et Eur. Heracl. 918.

v. 323. *ἠδέ*, quod ut Ionicum aspernatos esse tragicos opinabatur Valckenarius ad Phoen. 1683, vindicavit Porsonus in Advers. p. 37 ed. Lips. Cfr. Krueg. II § 69, 32, 2.

ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
τόλμα τάδ'· ἡμεῖς δ', εἰ κακῶς νομίζομεν
τιμᾶν τὸν ἐσθλόν, ἀμαθίαν ὀφλήσομεν·
οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.

ΧΟ. αἰαῖ· τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ
τολμᾷ θ' ἃ μὴ χρὴ τῇ βίᾳ νικώμενον.

ΕΚ. ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα
φροῦδοι μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου·
σὺ δ' εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,
σπούδαζε, πάσας ὥστ' ἀηδόνος στόμα
φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,

v. 326. Iungenda *κακῶς τιμᾶν τὸν ἐσθλόν.* — *ἀμαθίαν ὀφλεῖν*, in stultitiae crimen incidere. Sophocl. Antig. 470: *σχεδόν τι μωρῷ μωρίαν ὀφλισκάνω.* Eur. Phoen. 770: *πατὴρ δ' ἐς αὐτὸν ἀμαθίαν ὀφλισκάνει.*

v. 328. *οἱ βάρβαροι δὲ*] I. e. *ὑμεῖς δὲ οἱ βάρβαροι.* Cf. Krueg. § 50, 7, 14.

v. 332. *τολμᾷ* 'perfert, tolerat'. Cf. ad Med. 590, supra 326, infra 1223. Soph. Oed. Col. 184: *τόλμα ξεῖνος ἐπὶ ξένης, Ὦ τλάμων, ὅτι καὶ πόλις Τέτροφεν ἄφιλον ἀποστυγεῖν καὶ τὸ φίλον σέβεσθαι.* Adde Iacobs. ad Athen. p. 309. — Cum in proximo versu genuina lectio *πέφυκ' ἀεὶ* conservata sit apud Stobaeum (flor. 62, 25), codices autem Euripidis vetustiores *πεφυκέναι* habeant, rectam rationem postulare putaveris, ut etiam in hoc versu lectio Stobaei *τῇ βίᾳ κρατούμενον* lectioni codicum *τῇ β. νικώμενον* praeferatur. At cum *πεφυκέναι* sponte ex *πέφυκεν ἀεί* depravari potuit tum integra memoria codicum conservata lectione *τολμᾷ* comprobatur, ut sublestam fidem Stobaei facile neglegamus.

v. 334 sq. *πρὸς αἰθέρα φροῦδοι*] 'In ventos nebulasque cesserunt, irriti fuerunt'. Suppl. 1155: *λόγων δὲ παρακέλευμα σῶν ἀέρι φερόμενον οἴχεται.* Troad. 418: *Ἀργεῖ' ὀνείδη καὶ Φρυγῶν ἐπαινέσεις Ἀνέμοις φέρεσθαι παραδίδωμι.* — *μάτην ῥιφθέντες.* Med. 1404: *μάτην ἔπος ἔρριπται.*

v. 335. Vulgo *ῥιφέντες.* Cf. Valcken. ad Phoen. 979.

v. 337 sq. *πάσας φθογγὰς ἱεῖσα*] Dicitur hoc de iis, quorum omnes in partes se vertit oratio, ut aut assequantur quod velint, aut, si quid imminet molesti, id ne subeant. Exempla huius formulae collegit Wyttenbachius ad Eunap. p. 198 sq. De prima syllaba verbi *ἱεῖσα* non semper apud Atticos poetas producta v. Nauck. Philol. XI p. 464. [*ἀηδόνος στόμα* de flebili voce eaque multiplici ratione variata usurpatur. Vid. Spanhem. ad Callim. H. in Pall. 94 p. 689. F. I.]

v. 339. *πρόσπιπτε — γόνυ*] Infra v. 737: *πότερα προσπέσω γόνυ Ἀγαμέμνονος τοῦδε;* Androm. 537: *τί με προσπίτνεις;*

καὶ πεῖθ'· ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
καὶ τῷδε, τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.
ΠΟ. ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος
κρύπτοντα χεῖρα καὶ πρόσωπον ἔμπαλιν
στρέφοντα, μή σου προσθίγω γενειάδος.
θάρσει· πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία·
ὡς ἕψομαί γε τοῦ τ' ἀναγκαίου χάριν
θανεῖν τε χρῄζουσ'· εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
τί γάρ με δεῖ ζῆν; ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων· τοῦτό μοι πρῶτον βίου·
ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦ
γυναιξί, παρθένοις ἀπόβλεπτος μέτα,
ἴση θεοῖσι πλὴν τὸ κατθανεῖν μόνον.

Suppl. 10: *ἱκτῆρι θαλλῷ προσπεσοῦσ' ἐμὸν γόνυ.*

v. 340. *πρόφασιν*] *αἰτίαν, ἀφορμὴν τοῦ πείθειν.* Schol. Andocides c. Alcib. § 17: *προφάσεις ἀληθεῖς.* Xenoph. de re equestri VIII 16: *μικρὰ πρόφασις ἀρκέσει κεῖσθαι καὶ αὐτὸν καὶ τὸν ἵππον.* Obtestatio per liberos, tanquam carissima pignora, satis frequens. Cf. Hom. Il. ω 486. Soph. Ai. 587. Eurip. Alc. 276. Lysias adv. Diogit. § 13. Sallust. Catil. 35. Cic. pro Cael. 32.

v. 344. *μή σου προσθίγω γενειάδος*] I. e. *μή σε ἱκετεύσω.* Vid. ad v. 286.

v. 345. *πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία*] Effugisti meum supplicem Iovem, i. e. non est quod verearis, ne supplicibus ego te verbis orans tuae erga Iovem pietati vim adhibere velle videar. V. C. Fr. R.

v. 350. *πρῶτον βίου*, quia ad natum pertinet. Cum autem quod natura primum est, etiam in enarratione primum ordinem habeat, ad hoc *πρῶτον* referendum est quod sequitur *ἔπειτα*, ut si Polyxena dicat, 'primum nata eram patre omnium Phrygum rege, deinde etc.'.

v. 352. *ζῆλον — ἔχουσα*] 'aemulationem nuptiarum non exiguam ferens'.

v. 353. *ὅτου δῶμ' — — ἀφίξομαι*] Ex vulgari dicendi ratione exspectabas optativum. Indicativus positus est ex aliqua orationis in rectam transeuntis conversione: Polyxena enim ex mente procorum loquitur, quorum quisque invido animo ita quaesivisse putandus est: *τίνος δῶμ' ἑστίαν τ' ἀφίξεται;* V. C. Fr. R.

v. 355. *ἀπόβλεπτος*] 'Conspicua'. Lucian. Somn. § 11: *ὑπὸ τῶν γένει καὶ πλούτῳ προυχόντων ἀποβλεπόμενος.* Nigrin. § 13: *αὐτὸς μὲν ᾤετο ζηλωτὸς εἶναι πᾶσι τοῖς Ἀθηναίοις καὶ ὡς ἂν εὐδαίμων ἀποβλέπεσθαι.* Similiter 'conspectus, conspici' Latini. Vid. Gronov. et Drakenb. ad Liv. IV 13, 3.

νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
θανεῖν ἐρᾶν τίθησιν οὐκ εἰωθὸς ὄν·
ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
τύχοιμ' ἄν, ὅστις ἀργύρου μ' ὠνήσεται,
τὴν Ἕκτορός τε χἀτέρων πολλῶν κάσιν,
προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
σαίρειν τε δῶμα κερκίσιν τ' ἐφεστάναι
λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει·
λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλευθέρων
φέγγος τόδ', Ἅιδῃ προστιθεῖσ' ἐμὸν δέμας.
ἄγ' οὖν μ', Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων·
οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ
θάρσος παρ' ἡμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ
λέγουσα μηδὲ δρῶσα· συμβούλου δέ μοι

v. 358. 'Rarissima participii substantivi cum alio participio coniunctio. Exemplum tamen occurrit apud Homernm Il. τ 80: ἐπιστάμενόν περ ἐόντα, aliud apud Aristoph. Ran. 721: οὔτε γὰρ τούτοισιν οὖσιν οὐ κεκιβδηλευμένοις. Adde Aristot. Φυσ. Ἀκροάσ. III 13. Frequens est apud recentiores. Porson.

v. 359 sq. δεσποτῶν — ὅστις] De hac singularis cum plurali constructione dixi ad Med. 220. — δεσπόται ὠμοὶ φρένας, domini saevis animis praediti.

v. 362. ἀνάγκην σιτοποιὸν] I. e. ἀνάγκην τοῦ σιτοποιεῖν. Servile officium et hoc et quae deinceps commemorantur. Cf. Androm. 166. Troad. 491 sqq.

v. 366. χρανεῖ] Hipp. 1266: τὸν τἄμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη.

v. 367. ὀμμάτων ἐλευθέρων] Cfr. Aesch. Ag. 328 οὐκέτ' ἐξ ἐλευθέρου δέρης ἀποιμώζουσι φιλτάτων μόρον.

v. 370. 'Τὶς eodem modo collocatur in Aeschyl. Prom. 21: ἵν' οὔτε φωνὴν οὔτε του μορφὴν βροτῶν Ὄψει. Soph. Trach. 3: οὔτ' εἰ χρηστὸς οὔτ' εἴ τῳ κακός. Vide infra 1179.' Porson. Sic etiam Soph. Antig. 257: σημεῖα δ' οὔτε θηρὸς οὔτε του κυνῶν Ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο. Praeterea haud ab re fuerit discrimen vocabulorum ἐλπίς et δόξα animadvertere, quorum illud de spe non temere nec sine certa quadam ratione concepta, hoc de opinione dicitur, quae sua sponte se in animum insinuat, etsi causa idonea non adsit. Θάρσος autem fiduciam significat quam excitat aliqua spes.

v. 372. σὺ δ'] In huiusmodi conversionibus orationis legitimus est tertius locus particulae δέ. Infra 1287: Ἑκάβη, σὺ δ', ὦ τάλαινα, διπτύχους νεκροὺς Στείχουσα θάπτε. Cf. Or. 1065. El. 122. Pors. et Schaef. ad Or. 614.

v. 373. λέγουσα μηδὲ δρῶσα] Negativa particula ad prius participium subauditur; quemadmo-

θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ᾽ ἀξίαν τυχεῖν.
ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μέν, ἀλγεῖ δ᾽ αὐχέν᾽ ἐντιθεὶς ζυγῷ·
θανὼν δ᾽ ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.
ΧΟ. *δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς*
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις.
ΕΚ. *καλῶς μὲν εἶπας, θύγατερ· ἀλλὰ τῷ καλῷ*
λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Πηλέως
χάριν γενέσθαι παιδί, καὶ ψόγον φυγεῖν

dum apud Herodotum I 215: *σιδήρῳ δὲ οὐδ᾽ ἀργύρῳ χρῶνται οὐδέν.* Aristoph. Av. 695 *γῆ δ᾽ οὐδ᾽ ἀὴρ οὐδ᾽ οὐρανὸς ἦν*, Thuc. VIII 99 *αἱ Φοίνισσαι νῆες οὐδὲ ὁ Τισσαφέρνης τέως που ἧκον.* V. Schaeferum ad L. Bos. p. 777 et Elmsl. ad Soph. Oed. T. 817. Dictis factisque omnis continetur actio: illis igitur quem abstinere iubemus, eum prorsus nihil agere volumus: id quod facit hoc loco Polyxena, cui si obtemperavit mater, omnino quiescere debuit. Contra omnis est illi ratio agendi praescripta, cui, quid dicendum faciendumve sit, declaraveris. Incertus, quid ageret, Oedipus Creontem Delphos misit, *ὡς πύθοιθ᾽, ὅ τι δρῶν ἢ τί φωνῶν τήνδε ῥυσαίμην πόλιν*, Soph. Oed. T. 71. Similiter Inachus apud Aeschylum Prom. 659: *θεοπρόπους ἴαλλεν, ὡς μάθοι, τί χρὴ δρῶντ᾽ ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.*

v. 373 sq. *συμβούλου δέ μοι θανεῖν*] Mecum mihi mortem exopta.

v. 377. *μᾶλλον εὐτυχέστερος*] Particula comparativa in utraque lingua saepe abundat. Eur. Hipp. 485: *μᾶλλον ἀλγίων κλύειν.* Soph. Antig. 1210: *μᾶλλον ἆσσον.* Cf. Krueg. I § 49, 7, 5 et II § 49, 6, 3. Boissonad. ad h. l. et ad Aristaen. p. 430 sqq. Stallbaum. ad Platon. Phaedon. p. 98.

v. 379. Nobilitatis vim, de qua plura infra v. 592 sqq., ex eo maxime agnoscit chorus, quod illa vel in virgine apparebat. Id autem, quo se prodit generosa stirps atque indoles, traducto a nummis, quorum ex nota impressa probitatem cognoscimus, vocabulo *χαρακτήρ* dicitur. Saepius hac similitudine utitur Euripides: cf. inprimis Med. v. 516 sq. El. 558 sq. 572. Ex epithetis quam sit accommodate ad comparationem positum *ἐπίσημος*, me tacente intellegitur. *Δεινὸν* autem vocatur quicquid *ἔκπληξιν παρέχει*, ut aut metum excitet aut admirationem propter vim quandam eximiam aut virtutem.

v. 380. *ἐσθλοί*, nobiles atque ingenui, ut infra v. 597. Soph. Antig. 38: *εἴτ᾽ εὐγενὴς πέφυκας, εἴτ᾽ ἐσθλῶν κακή.* Eur. fr. 76 *ἐσθλῶν ἀπ᾽ ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα*, vetus dictum. Vid. Welcker. Prolegg. in Theogn. p. LIII sqq. — *κἀπὶ μεῖζον ἔρχεται*: 'Progrediturque clari generis splendor iis quidem, qui se dignos eo praebent, ad maiora et ultra nominis iactantiaeque vanitatem' vel, ut interpretatur Hermannus, 'generosa stirpe ortum esse in maiorem nobilitatis laudem vertit iis qui se dignos genere ostendunt'. Dictio eadem, sed sensu magis proprio, apud Soph. Philoct. 258: *ἡ δ᾽ ἐμὴ νόσος ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται.*

ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε,
ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως
κεντεῖτε, μὴ φείδεσθ'· ἐγὼ 'τεκον Πάριν,
ὃς παῖδα Θέτιδος ὤλεσεν τόξοις βαλών.
ΟΔ. οὐ σ', ὦ γεραιά, κατθανεῖν Ἀχιλλέως
φάντασμ' Ἀχαιούς, ἀλλὰ τήνδ', ᾐτήσατο.
ΕΚ. ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ συμφονεύσατε,
καὶ δὶς τόσον πῶμ' αἵματος γενήσεται
γαίᾳ νεκρῷ τε τῷ τάδ' ἐξαιτουμένῳ.
ΟΔ. ἅλις κόρης εἷς θάνατος· οὐ προσοιστέος
ἄλλος πρὸς ἄλλῳ· μηδὲ τόνδ' ὠφείλομεν.
ΕΚ. πολλή γ' ἀνάγκη θυγατρὶ συνθανεῖν ἐμέ.
ΟΔ. πῶς; οὐ γὰρ οἶδα δεσπότας κεκτημένος.
ΕΚ. ὁποῖα κισσὸς δρυὸς ὅπως τῆσδ' ἕξομαι.
ΟΔ. οὔκ, ἤν γε πείθῃ τοῖσι σοῦ σοφωτέροις.
ΕΚ. ὡς τῆσδ' ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.

v. 387. Noster Herc. 319: *ἰδοὺ πάρεστιν ἥδε φασγάνῳ δέρη Κεντεῖν, φονεύειν, ἱέναι πέτρας ἄπο.* De morte Achillis cf. Heyn. ad. Il. *χ* 359.

v. 391. *ἀλλά* in media oratione iuxta eam vocem, in qua sententiae vis ac pondus inest, collocatum elliptice ponitur et ex suppressa enuntiatione hypothetica, ex orationis nexu facile expedienda, suam habet explicationem, velut hoc loco: *ὑμεῖς δέ, εἰ μὴ μόνην με βούλεσθε φονεῦσαι, ἀλλὰ θυγατρὶ συμφονεύσατε*, vos vero, si me non solam interficere vultis, at una cum filia interficite. V. C. Fr. R.

v. 392. Troad. 381: *οὐδὲ πρὸς τάφους Ἔσθ' ὅστις αὐτοῖς αἷμα γῇ δωρήσεται.*

v. 395. *μηδὲ τόνδ' ὠφείλομεν*] Utinam ne haec quidem caedes nobis perpetranda esset! ad exprimendum votum, cuius compos fieri nequit. V. C. Fr. R.

v. 397. *οἶδα* cum nominativo participii, ut Soph. Antig. 89: *ἀλλ' οἶδ' ἀρέσκουσ' οἷς μάλισθ' ἁδεῖν με χρή.* Oed. Col. 797: *ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι.* V. Hermann. ad. Vig. p. 771. Krueg. I § 56, 7, 5.

v. 398. Inanem, ut videtur, alterius particularum comparativarum abundantiam alia ratione Reiskius, alia Porsonus removere studuerunt: quorum ille *ὁποῖα* in *ὅμοια* mutatum voluit, quod haud scio an probet Blomfieldius ad Aesch. Agam. 1282. Veram interpretationem demonstravit Seidlerus ad Troad. 147, qui locus nostro simillimus: *μάτηρ δ' ὡς τις πτανοῖς κλαγγὰν Ὄρνισιν ὅπως ἐξάρξω 'γὼ Μολπάν.* In utroque loco duplex est comparatio, *ὁποῖα κισσὸς — δρυὸς ὅπως, ὡς μάτηρ — ὄρνισιν ὅπως.* Probaverunt Hermannus (de ell. et pleon. p. 201. Opusc. T. I p. 220) et Matthiaeus. Ceterum ex hoc loco et Med. 1213 profecit auctor Christi Patientis v. 1308: *προσειχόμην ὡς κισσὸς ἔρνεσι δρυός.*

v. 399. Plato Phaedon. p. 89 B: *οὔκ, ἄν γε ἐμοὶ πείθῃ.* Iphig. A. 519: *οὔκ, ἢν θάνῃ γε πρόσθε.*

v. 400. *ὡς οὐ μεθήσομαι*]

ΟΔ. ἀλλ' οὐδ' ἐγὼ μὴν τήνδ' ἄπειμ' αὐτοῦ λιπών.
ΠΟ. μῆτερ, πιθοῦ μοι· καὶ σύ, παῖ Λαερτίου,
χάλα τοκεῦσιν εἰκότως θυμουμένοις,
σύ τ', ὦ τάλαινα, τοῖς κρατοῦσι μὴ μάχου.
βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν
γέροντα χρῶτα πρὸς βίαν ὠθουμένη,
ἀσχημονῆσαί τ' ἐκ νέου βραχίονος
σπασθεῖσ', ἃ πείσει; μὴ σύ γ'· οὐ γὰρ ἄξιον.
ἀλλ', ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
δὸς καὶ παρειὰν προσβαλεῖν παρηΐδι·
ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ' ἡλίου προσόψομαι.
τέλος δέχει δὴ τῶν ἐμῶν προσφθεγμάτων.
ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.
ΕΚ. ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν.
ΠΟ. ἄνυμφος, ἀνυμέναιος, ὧν με χρῆν τυχεῖν.
ΕΚ. οἰκτρὰ σύ, τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
ΠΟ. ἐκεῖ δ' ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.
ΕΚ. οἴμοι τί δράσω; ποῖ τελευτήσω βίον;

Supple ἴσθι. Med. 596: *ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα*, ubi v. Elmsleium.

v. 403. *χάλα*] Intransitive. Ion 637: *εἴκειν ὁδοῦ χαλῶντα τοῖς κακίοσιν.* Orest. 698: *εἰ δ' ἡσύχως τις αὐτὸς ἐντείνοντι μὲν χαλῶν ὑπείκοι.* V. Iacobs. Animadvv. p. 5. — *τοκεῦσιν* de una Hecuba, *κρατοῦσι* de solo Ulixe. Poetarum enim et praesertim tragicorum hic est mos, ut, licet de uno tantum homine agant, pluralem tamen numerum ponant, quando significare volunt eandem rem aut de pluribus valere aut cum vi quadam pronuntiari. Cf. Gr. Gr. nostram § 97 annot. p. 431. V. C. Fr. R.

v. 408. *μὴ σύ γε* scil. *βούλου πεσεῖν κτἑ.* Formula blande precantium, supplenda plerumque ex nexu locorum, quibus ponitur. Plene Euripides Med. 1056: *μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε.* Ion 1334: *Ι. καθαρὸς ἅπας τοι, πολεμίους ὃς ἂν κτάνῃ. Π. μὴ σύ γε· παρ' ἡμῶν δ' ἔκλαβ' οὓς ἔχω λόγους.* Cf. Phoen. 532. ibiq. Valck. Iph. A. 1460. Ion 439. Plat. de rep. I p. 345 B. al.

v. 412, quem liber Marcianus intra lineas literis minoribus scriptum habet a m. prima, suspectus est. Cfr. v. 435.

v. 416. *ὧν*] Scil. *ὑμεναίων*, quod ex adiectivo *ἀνυμέναιος* repetendum. Vide ad v. 23.

v. 419. *ποῖ τελευτήσω βίον;*] *Ποῖ*, i. e. *ἔς τι.* Cum enim Graeci dicant *ἔς τι τελευτᾶν* usque ad locum aliquem aut modum rem ad finem deducere, *τελευτᾶν* etiam cum iis adverbiis, quae motum in aliquem locum significant, potest iungi. Sic Troad. 1029: *ἵν' εἰδῇς, οἷ τελευτήσω λόγον.* Plato Symp. p. 181 E.: *τὸ γὰρ τῶν παίδων τέλος ἄδηλον οἷ τελευτᾷ κακίας καὶ ἀρετῆς ψυχῆς τε πέρι καὶ σώματος.* Aesch. Pers. 735: *πῶς τε δὴ καὶ ποῖ τελευτᾶν;* ubi cf. Blomf. in Addendis. Ceterum v. 419. 420

ΠΟ. δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
ΕΚ. ἡμεῖς δὲ πεντήκοντά γ' ἄμμοροι τέκνων.
ΠΟ. τί σοι πρὸς Ἕκτορ' ἢ γέροντ' εἴπω πόσιν;
ΕΚ. ἄγγελλε πασῶν ἀθλιωτάτην ἐμέ.
ΠΟ. ὦ στέρνα μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
ΕΚ. ὦ τῆς ἀώρου, θύγατερ, ἀθλίας τύχης.
ΠΟ. χαῖρ', ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τέ μοι.
ΕΚ. χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστιν τόδε.
ΠΟ. ὅ τ' ἐν φιλίπποις Θρῃξὶ Πολύδωρος κάσις.
ΕΚ. εἰ ζῇ γ'· ἀπιστῶ δ'· ὧδε πάντα δυστυχῶ.
ΠΟ. ζῇ καὶ θανούσης ὄμμα συγκλήσει τὸ σόν.
ΕΚ. τέθνηκ' ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.
ΠΟ. κόμιζ', Ὀδυσσεῦ, μ' ἀμφιθεὶς κάρᾳ πέπλους·
ὡς πρὶν σφαγῆναί γ' ἐκτέτηκα καρδίαν
θρήνοισι μητρός, τήνδε τ' ἐκτήκω γόοις.

vereor ne spurii sint. Recte enim Nauckius *βίον* ineptum dicit nec multum proficitur eo quod idem vir doctus conicit *ποῖ τελευτήσω τάδε*; Praeterea sententia Hecubae *ἡμεῖς δὲ πεντήκοντά γ' ἄμμοροι (ἐσμέν) τέκνων* (421) verbis Polyxenae *χωρὶς σέθεν* (418) respondere videtur.

v. 421. Med. 1395: *στείχω, δισσῶν γ' ἄμορος τέκνων*. De numero Priami filiorum vid. Hom. Il. ω 496. coll. ζ 243. Athen. XIII p. 556. B. Verg. Aen. II 503.

v. 423. *ἄγγελλε — ἀθλιωτάτην ἐμέ*] Scil. *οὖσαν*. Sic infra v. 591: *ἀγγελθεῖσά μοι γενναῖος*. Cfr. Krueg. I § 56, 7, 3.

v. 425. Marklandi coniecturam (ad Iph. T. 1490) *ἀθλία* contra libros intulerat Porsonus, cum vulgo scriptum esset *ἀθλίας*, quod iure vindicavit Hermannus. Nam quod valde invenustum duplex epitheton videbatur doctis Anglis, ea de re aliter iudicaverunt, quos optimos elegantiae arbitros auctoresque dicas, poetae veteres. Hipp. 668: *τάλανες ὦ κακοτυχεῖς γυναικῶν πότμοι*. 1272: *ευάχητόν θ' ἁλμυρὸν ἐπὶ πόντον*. Aesch. S. c. Th. 864: *ἐρατῶν ἐκ βαθυκόλπων στηθέων*. Soph. Trach. 770: *φοινίας ἐχθρᾶς ἐχίδνης*. Pind. Olymp. XIII 85: *αἰθέρος ψυχρᾶς ἀπὸ κόλπων ἐρήμου*. Sed hoc genus infinitum est, neque attinet plura commemorare. Cf. Reisig. Comment. crit. ad Oed. Col. p. 335. Pro *τῆς* Hermannus scripsit *σῆς* cl. Or. 1029.

v. 427. Simpliciter negat in se convenire illud *χαῖρε*, quo laeta omnia discedentes amicis precantur, neque cum alios laetari dicit, aut Graecos morte Polyxenae laetos, ut arbitratur Hermannus, aut omnino certos quosdam homines respicit, sed quicunque minus iniqua fortuna utuntur. Hoc igitur dicit: Illud *χαῖρε* aliis acclamari oportebat, qui essent a gaudio haud alieni, non mihi, quae misera sum. Similia dicta tragicorum collegit Valckenarius ad illa ex Phoen. 618: *Π. μῆτερ, ἀλλά μοι σὺ χαῖρε. Ἰοκ. χαρτὰ γοῦν πάσχω, τέκνον.*

v. 431. Hunc locum expressit Plutarchus consol. ad Apollon. p. 107 A: *εἰ γὰρ προῄδειμεν (τὴν τοῦ θανάτου προθεσμίαν), κἂν προεξετήκοντό τινες ταῖς λύπαις καὶ πρὶν ἀποθανεῖν ἐτεθνήκεισαν.*

ὦ φῶς· προσειπεῖν γὰρ σὸν ὄνομ᾽ ἔξεστί μοι,
μέτεστι δ᾽ οὐδὲν πλὴν ὅσον χρόνον ξίφους
βαίνω μεταξὺ καὶ πυρᾶς Ἀχιλλέως.

ΕΚ. *οἲ ᾽γώ· προλείπω· λύεται δέ μου μέλη.*
ὦ θύγατερ, ἅψαι μητρός, ἔκτεινον χέρα,
δός· μὴ λίπῃς μ᾽ ἄπαιδ᾽. ἀπωλόμην, φίλαι.
ὣς τὴν Λάκαιναν σύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων
αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.

(*στρ. α΄.*)

ΧΟ. *αὔρα, ποντιὰς αὔρα,*

v. 444 sqq. Metrum chori est Glyconeum: plurimi autem vorsus ex eo genere, quod explicuit Herm. Elem p. 556, nisi quod adiecta est plerumque thesis monosyllaba in fine. De vv. 449. 460. 470. 479 videndus idem p. 569. Denique vv. 454. 465 sunt Phalaecei hendecasyllabi, vid. p. 562 sq.

στρ. α΄.

× – –́ ⏑ ⏑ – –
× ⏒ –́ ⏑ ⏑ – ⏑́ – ⏒
⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –
× ⏑ –́ ⏑ ⏑ – ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ – ⏑
– –́ ⏒ –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
× ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –

στρ. β΄.

– –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ –
× – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ – –
⏒ –́ ⏒ –́ ⏑ –
× – –́ ⏑ ⏑ – ⏑ – –
– × ⏒ –́ ⏑ ⏑ –
× – –́ ⏑ ⏑ –
× – × – –́ ⏑ ⏑ –

v. 435. Nihil offensionis habet formula *προσειπεῖν ὄνομά τινος*, non comparanda illa cum eo, quod dicitur *προσειπεῖν* vel *ὀνομάζειν τινὰ ὄνομα*. Prius et de eo recte dicas, qui aliquem nomine compellat, et vero multo magis de eo, qui id ita facit, ut ad eum praeter nomen nihil quidquam pertineat. Polyxena quidem eo iam redacta erat, ut lucis ipsius expers haberi possit, nomine tenus adhuc fruatur. — *μέτεστι δ᾽ οὐδέν*, scil. *σου*.

v. 436. Recte Boissonadius iungit *ξίφους καὶ πυρᾶς* et haec duo simul viae terminum intellegit: 'quantum mihi spatii reliquum est ad ferrum, quo in busto Achillis iugulabor'. Reticuit igitur poeta eum locum, a quo processit Polyxena: quomodo Sophocles loco a Matthiaeo laudato, Oed. Col. 291 *τὰ δὲ μεταξὺ τούτου μηδαμῶς γίγνου κακός* dixit pro: *μεταξὺ τοῦδε τοῦ χρόνου καὶ τοῦ παρεῖναι τὸν ἡγεμόνα.*

v. 441. *ὥς*, 'hoc in statu' i. e. sic perculsam et malis oppressam. Cfr. v. 486 sq. Cum autem haec abominatio Helenae a praesenti dolore Hecubae valde aliena sit, v. 441—443 Hermannus choro attribuit, Dindorfius delet. Atque *ὥς*, quod rarissimum apud Atticos (v. Heind. ad Plat. Prot. § 44), in trimetris Euripides non usus esse videtur nisi in dictione *ἀλλ᾽ ὣς γενέσθω* infra 888, Iph. T. 603, Tro. 726. Aliis locis ut Hipp. 1054, Bacch. 1068 rectius *ὡς* quam *ὥς* scribitur.

v. 444 sqq. Chorus futuras se-

ἅτε ποντοπόρους κομίζεις
θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας,
ποῖ με τὰν μελέαν πορεύσεις;
τῷ δουλόσυνος πρὸς οἶκον
κτηθεῖσ' ἀφίξομαι;
ἢ Δωρίδος ὅρμον αἴας,
ἢ Φθιάδος, ἔνθα καλλί-
στων ὑδάτων πατέρα
φασὶν Ἀπιδανὸν γύας λιπαίνειν;

(ἀντιστρ. α'.)

ἢ νάσων, ἁλιήρει
κώπᾳ πεμπομέναν τάλαιναν,

cum miserias reputans, et quem cuique dominum locumque servitii sors datura sit anquirens postrema flebiles de Troiae excidio lamentationes fundit. Ceterum facile fugiebat spectatores, v. 101 sq. sortitionem iam factam dici, ut id condonari debeat poetae copiam res populo gratas commemorandi quaerenti.

v. 446. *λίμνη*, quod proprie lacum significat, praeeunte Homero, tragici quoque de mari dixerunt, quorum locos collegit Valck. ad Hipp. 141.

v. 450. *Δωρίδα αἶαν*, Peloponnesum, quam *μεγάλαν Δωρίδα νᾶσον* vocat Soph. Oed. Col. 696. De Peloponneso loquens Strabo VIII p. 333 extr. *σχεδὸν δ' ἔτι καὶ νῦν*, inquit, *κατὰ πόλεις ἄλλοι ἄλλως διαλέγονται, δοκοῦσι δὲ δωρίζειν ἅπαντες διὰ τὴν συμβᾶσαν ἐπικράτειαν.* Idem de Apidano, Thessaliae fluvio, IX p. 432: *ὁ δ' Ἐνιπεὺς ἀπὸ τῆς Ὄθρυος παρὰ Φάρσαλον ῥυεὶς εἰς τὸν Ἀπιδανὸν καταβάλλει, ὁ δ' εἰς τὸν Πηνειόν.* Eurip. Iph. A. 713: *Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.* Cf. Herodot. VII 196. Herbidas eius ripas laudant Propertius I 3, 6. Ovid. Metam. VII 228. Simillimae laudes Lydiae fluvii apud Eurip. Bacch. 571.

v. 455—465. Delum insulam, natale Apollinis et Dianae solum, designat, ubi, si forte, *ἱεροδούλων* munere functura erat. Ordo et structura verborum talis est: *ἢ (πορεύσεις με) ἁλιήρει κώπᾳ πεμπομέναν τάλαιναν, οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις, νάσων ἔνθα* etc. De genetivo *νάσων*, qui ab *ἔνθα* pendet, vid. Krueg. I § 47, 10, 4. Frequens mentio palmae tum primum editae, ad quam Apollinem peperisse dicebatur Latona: v. Hom. Hymn. I (in Apoll. Del.) 117 *ἀμφὶ δὲ φοίνικι βάλε πήχεε, γοῦνα δ' ἔρεισε λειμῶνι μαλακῷ*, Theogn. 5. Eurip. Iph. T. 1099. Ion 919. cf. Spanh. ad Callim. Del. 210. Sacra arbor, qua Latona gaudebat adminiculo usa, cum partum a Iove conceptum eniteretur, dicitur *ἄγαλμα ὠδῖνος Δίας*; nam *ἄγαλμα* est *πᾶν ἐφ' ᾧ τις ἀγάλλεται.* Nicander apud Athen. II p. 52 E *φηγοὶ Πανὸς ἄγαλμα.* Cf. Boeckh. Corp. Inscript. Vol. I Fasc. I p. 7. Pro *φίλᾳ* fortasse *φίλον* scribendum. — v. 464. Particula *τε* non suum locum tenet, qui erat post *χρυσέαν*: reiecta est autem post voc. *Ἀρτέμιδος* more haud infrequenti, quem illustravit Matthiaeus. De v. *ἄμπυξ* Schol. *κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ*

οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
ἔνθα πρωτόγονός τε φοῖνιξ
δάφνα θ' ἱεροὺς ἀνέσχε
πτόρθους Λατοῖ φίλᾳ,
ὠδῖνος ἄγαλμα Δίας;
σὺν Δηλιάσιν τε κούραις
Ἀρτέμιδός τε θεᾶς
χρυσέαν ἄμπυκα τόξα τ' εὐλογήσω;

(στρ. β'.)

ἢ Παλλάδος ἐν πόλει
τᾶς καλλιδίφρου θεᾶς
ναίουσ' ἐν κροκέῳ πέπλῳ
ζεύξομαι ἆρα πώλους,
ἐν δαιδαλέαισι ποι-
κίλλουσ' ἀνθοκρόκοισι πήναις,
ἢ Τιτάνων γενεάν,

τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν. — Hactenus de verborum interpretatione: nunc videndum, quam poeta rationem secutus sit in commemoratione locorum, ubi servitium se toleraturas Troianae mulieres augurantur. Ac Peloponnesi quidem et Phthiae propter Agamemnonem et Achillem vel potius Neoptolemum mentionem iniectam esse nemo non intellegit; cf. Schol. ad v. 447. 450 ed. Dind. Illud dubitari potest, num recte propter Agamemnonem Delum quoque commemoratam dicat Schol. ad v. 455, provocans ad notissimum Homeri versum, Il. β 108, de quo confer Thucyd. I 9. Nam qualecunque fuerit illud multarum insularum imperium, tamen Delum Mycenarum regi subiectam fuisse non credibile est. Morem scenae Atticae praesertim Euripidis qui cognoverit non dubitabit, quin civibus suis hoc tribuerit poeta, a quibus post lustratam Ol. LXXXVIII 3 Delum renovata erant sacra Deliaca ludique gymnici et musici. Cf. Thucyd. III 104. Diod. Sic. XII 58. Eo autem maiorem haec carminis pars gratiam habitura erat, si, quo tempore edita est Hecuba, recens eius rei memoria vigebat. Itaque si quis audacior in coniectando sit, colligere hinc possit, quando acta sit haec fabula. Quanquam non is ego sum, cui, deficientibus aliis indiciis, hinc certi quidquam concludi posse videatur. Illa enim vel sic satis se commendasse civibus poetae patet. Similis est ratio eorum, quae inde a v. 466 scripsit de ornamentis pepli Minervae texendi, si forte Athenas captivae deducerentur. Spectant ea ad peplum Minervae Panathenaeorum festo deferri solitum, in quo potissimum res ab hac dea in certamine adversus Gigantas gestae, ipsa autem haud raro currui insidens (hinc v. 467 καλλίδιφρος, cf. Müller. de Phidia III p. 79) pingebatur. Cf. Iph. T. 222. Docte hunc morem post Meursium explicuerunt Boeckhius in libro de tragicis Gr. p. 193 sq. et Creuzerus Symbol. T. II p. 809 sqq.

v. 469. ἆρα pro ἄρα metri causa. Cfr. Krueg. II § 69, 9, 8.

τὰν Ζεὺς ἀμφιπύρῳ
κοιμίζει φλογμῷ Κρονίδας;

(ἀντιστρ. β'.)

ὤμοι τεκέων ἐμῶν,
ὤμοι πατέρων χθονός θ',
ἃ καπνῷ κατερείπεται
τυφομένα, δορίκτη-
τος Ἀργείων· ἐγὼ δ'
ἐν ξείνᾳ χθονὶ δὴ κέκλημαι
δούλα, λιποῦσ' Ἀσίαν,
Εὐρώπας θεράπναν
ἀλλάξασ', Ἅιδα θαλάμους.

ΤΑΛΘΥΒΙΟΣ.

ποῦ τὴν ἄνασσαν δή ποτ' οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι, Τρῳάδες κόραι;
ΧΟ. αὕτη πέλας σου νῶτ' ἔχουσ' ἐπὶ χθονί,
Ταλθύβιε, κεῖται, ξυγκεκλῃμένη πέπλοις.
ΤΑ. ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾶν;
ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην

v. 479. **δορίκτητος Ἀργείων** eadem ratione explicandum qua **οὖσα, γενομένη Ἀργείων** dicitur.

v. 482 sq. **Εὐρώπας . . θαλάμους**] Chorus dicit: 'domicilium Europae mutavi, ubi ut in Orco habitabo'. **ἀλλάσσειν, ἀμείβειν τόπον**, locum mutare, et de loco quem relinquas et de loco quo migres intellegi potest.

v. 484. Troad. 506: **ἄγετε τὸν ἁβρὸν δή ποτ' ἐν Τροίᾳ πόδα.** 1277: **ὦ μεγάλα δή ποτ' ἀμπνέουσ' ἐν βαρβάροις.** Suppl. 1130: **ἀντὶ σωμάτων εὐδοκίμων δή ποτ' ἐν Μυκήναις.** Quibus locis omnibus eadem ratio particulae **δὴ** videtur, ac cum superlativis subicitur.

v. 486. **νῶτ' ἔχουσ' ἐπὶ χθονί**] Scilicet collapsam ad tantam malorum gravitatem excepisse Troianas mulieres ac supinam reclinasse cogitandum est.

v. 488. **ὁρᾶν**] Animadvertere, sic ut aut puniat merentes aut remuneretur. Cf. Soph. Oed. C. 279. Matthiae. Misc. Philol. Vol. II P. I p. 9.

v. 489. Paullo durius, neque tamen sine exemplo, quod in altero sententiae membro subiectum mutavit, ut ad **κεκτῆσθαι** non **σέ**, sed **ἀνθρώπους** cogitatione repetendum sit, nisi **μάτην** interpretationis causa vocabuli **ἄλλως** adscriptum est et **κεκτῆσθαι βροτοὺς** recipi debet ex schol. B **ἢ τὴν δόξαν ταύτην· ἢ τὴν ὑπόληψιν μάταια κεκτῆσθαι τοὺς βροτούς κτἑ.** Deinde ex more tragici sermonis cumulantur similis verba significationis, **ἄλλως, μάτην, ψευδῆ,** cf. v. 626. Participium autem **δοκοῦντας** explicandis illis, **τήνδε δόξαν**, inservit. Sic apud Isocr. Phil. § 89: **οἶμαι δὲ τῶν μὲν ἄλλων εἴ τισι δόξειε περὶ τῆς στρατείας τῆς εἰς τὴν Ἀσίαν συμβουλεύειν, ἐπὶ ταύτην ἂν ἐπιπεσεῖν τὴν παρά-**

ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος,
τύχην δὲ πάντα τἀν βροτοῖς ἐπισκοπεῖν;
οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν;
οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκεν δορί,
αὐτὴ δὲ δούλη, γραῦς, ἄπαις, ἐπὶ χθονὶ
κεῖται κόνει φύρουσα δύστηνον κάρα.
φεῦ φεῦ. γέρων μέν εἰμ'· ὅμως δέ μοι θανεῖν
εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.
ἀνίστασ', ὦ δύστηνε, καὶ μετάρσιον
πλευρὰν ἔπαιρε καὶ τὸ πάλλευκον κάρα.
ΕΚ. *ἔα· τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷς*
κεῖσθαι; τί κινεῖς μ', ὅστις εἶ, λυπουμένην;
ΤΑ. *Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,*
Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι, μέτα.
ΕΚ. *ὦ φίλτατ', ἆρα κἄμ' ἐπισφάξαι τάφῳ*
δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
σπεύδωμεν, ἐγκονῶμεν, ἡγοῦ μοι, γέρον.
ΤΑ. *σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς, γύναι,*
ἥκω μεταστείχων σε· πέμπουσιν δέ με
δισσοί τ' Ἀτρεῖδαι καὶ λεὼς Ἀχαικός.
ΕΚ. *οἴμοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους*

κλησιν, λέγοντας etc. de antidosi § 69: ***τούτου δ' ἕνεκα ταύτην ἐποιησάμην τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' ὠφελήσειν καὶ τὸν τρόπον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν.*** Cf. Heindorf ad Plat. Phaedon. § 5, ad Theaet. § 22.

v. 490. Cum non quaeratur, dei num sint, sed num res humanas curent, Nauckius recte videtur hunc v. eiecisse.

v. 496. ***κεῖται***] De Achille ereptae Briseidis luctu oppresso Hom. Il. *β* 688: ***κεῖτο γὰρ ἐν νήεσσι ποδάρκης δῖος Ἀχιλλεὺς Κούρης χωόμενος Βρισηΐδος ἠϋκόμοιο.*** Eurip. Med. 24. Suppl. 22. Lugentium etiam illud, quod sequitur, ***κόνει φύρουσα δύστηνον κάρα.*** Catull. LXiV 224: *Canitiem terra atque infuso pulvere foedans.*

v. 497. Senex quidem sum, inquit, ut vel in extremis miseriis illud praesto sit solatium, propinquam esse mortem omnibus malis liberaturam; tamen tam gravis est Hecubae fortuna, ut mori cupiam, antequam similem malorum acerbitatem experiar.

v. 501. ***τίς οὗτος — οὐκ ἐᾷς***] Apte Porsonus comparat Hom. Il. *κ* 82: ***τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἶος;***

v. 504. ***πέμψαντος***] Subaudi ***με***, et mox ***μέτα***, sc. ***σέ***. De vi praepositionis huius vid. Med. 6, Alc. 46, Soph. Phil. 343, Krueg. II § 68, 27b, 2.

v. 511. ***τί λέξεις;***] Falluntur qui futurum pro praesente positum putant. Vid. Krueg. II § 53,

μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
ὄλωλας, ὦ παῖ, μητρὸς ἁρπασθεῖσ' ἄπο·
ἡμεῖς δ' ἄτεκνοι τοὐπί σ'· ὦ τάλαιν' ἐγώ.
πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι;
ἢ πρὸς τὸ δεινὸν ἤλθεθ' ὡς ἐχθράν, γέρον,
κτείνοντες; εἰπέ, καίπερ οὐ λέξων φίλα.

ΤΑ. διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ
τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
παρῆν μὲν ὄχλος πᾶς Ἀχαιικοῦ στρατοῦ
πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς·
λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς
ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ·
λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι
σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν
ἕσποντο· πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυσον αἴρει χειρὶ παῖς Ἀχιλλέως
χοὰς θανόντι πατρί· σημαίνει δέ μοι

7, 1. Locutio apud Euripidem usitata (infra 712, 1124, Hel. 780, Hipp. 353, Ion 1113, Med. 1310, Phoen. 1274) ex vulgari sermone accepta videtur.

v. 514. *τοὐπί σ'*] I. e. *τοὐπὶ σέ*, quod attinet ad te. Orest. 1345 (1338): *Σώθηθ', ὅσον γε τοὐπ' ἔμ'*, ubi v. Porson.

v. 515. Usum particulae *καὶ* post interrogativa illa *τίς*, *πῶς*, *ποῖ*, *ποῦ*, *ποῖος* illustravit Porsonus ad Phoen. 1373. Aliud exemplum est in hac fabula v. 1064: *ποῖ καί με φυγᾷ πτώσσουσι μυχῶν*; cf. 1201. Hippol. 1171: *πῶς καὶ διώλετ', εἰπέ.* His locis facile animadvertis quendam interrogationi vigorem addi interposita particula.

v. 518. *κερδᾶναι*] Formam hanc damnavisse videntur Atticistae, sed exemplis confirmavit Elmsleius ad Soph. Oed. Col. 72.

v. 520. *πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο*] Scil. *ἔτεγξα*. Isocrates Phil. § 95: *τὸ μὲν τοίνυν μέγιστον, σὺ μὲν τοὺς Ἕλληνας εὔνους ἕξεις, — ἐκεῖνοι δὲ διὰ τὰς δεκαδαρχίας τὰς ἐπὶ Λακεδαιμονίων ὡς οἷόν τε δυσμενεστάτους*, scil. *εἶχον*. Vide ad v. 57.

v. 524. *πέλας δ' ἐγώ*] Intellege *ἔστην*. In summo tumulo ut consistat, inferias Clytaemnestrae missura Helena filiam hortatur, Or. 116: *καὶ στᾶσ' ἐπ' ἄκρου χώματος λέξον τάδε.*

v. 528. *αἴρει* habet optimus liber Marc. a prima manu; plerique *ἔρρει*, quod locis quales sunt Theocr. V 124 *Ἱμέρα ἀνθ' ὕδατος ῥείτω γάλα*, 126 *ῥείτω χἀ Συβαρῖτις ἐμὶν μέλι* defendi nullo pacto potest. Ne *αἴρει* quidem satis aptum esse et repetitum *χειρί* offendere recte monet Dindorfius. Fortasse *πάγχρυσον ἄρδην ἔχεε παῖς* scriptum fuit, quocum comparare licet Soph. Ant. 430 *ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.*

σιγὴν Ἀχαιῶν παντὶ κηρῦξαι στρατῷ·
κἀγὼ καταστὰς εἶπον ἐν μέσοις τάδε·
σιγᾶτ', Ἀχαιοί, σῖγα πᾶς ἔστω λεώς·
σίγα, σιώπα· νήνεμον δ' ἔστησ' ὄχλον.
ὁ δ' εἶπεν, ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός,
δέξαι χοάς μου τάσδε κηλητηρίους,
νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ,
λῦσαί τε πρύμνας καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν, πρευμενοῦς τ' ἀπ' Ἰλίου
νόστου τυχόντας πάντας ἐς πάτραν μολεῖν.
τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπηύξατο στρατός.
εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν
ἐξεῖλκε κολεοῦ, λογάσι δ' Ἀργείων στρατοῦ
νεανίαις ἔνευσε παρθένον λαβεῖν.
ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
ἑκοῦσα θνήσκω· μή τις ἅψηται χροὸς
τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες κτείνατ'· ἐν νεκροῖσι γὰρ
δούλη κεκλῆσθαι βασιλὶς οὖσ' αἰσχύνομαι.

v. 534. *ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός*] O fili Pelei, idemque pater meus. Cfr. Soph. Oed. Col. 1275: *ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες.* Vid. Elmsleium ad Med. 940.

v. 535. De *δέχεσθαί τινος* cfr. Krueg. II § 46, 1, 7.

v. 536. *νεκρῶν ἀγωγούς*] Cfr. Aristoph. Av. 1555 *ψυγαγωγεῖ Σωκράτης· ἔνθα καὶ Πείσανδρος . . λαιμοὺς τεμὼν ὥσπερ ποθ' οὐδυσσεὺς καθῆτο κἄτ' ἀνῆλθ' αὐτῷ κάτωθεν πρὸς τόδ' αἷμα τῆς καμήλου Χαιρεφῶν.*

v. 537. *ἀκραιφνὲς*] Iphig. A. 1574: *ἄχραντον αἷμα καλλιπαρθένου δέρης.* Philostr. V. A. IV 25 p. 166: *τὰ γὰρ καλὰ τῶν σωμάτων καὶ νέα σιτεῖσθαι ἐνόμιζεν, ἐπειδὴ ἀκραιφνὲς αὐτοῖς τὸ αἷμα.* Id. Imagg. II 9 p. 67: *τοῦ δὲ αἵματος ἀκραιφνοῦς ὄντος τὸ μὲν τὰ ὅπλα χραίνει, τὸ δὲ αὐτόν.*

v. 546. *ἐφράσθη*] *συνῆκεν, ἔγνω, ἐνόησεν.* Hesych. *φρασθεὶς* eodem significatu ex Herod. VII 46 adfert Hermannus.

v. 550. Sententiam corrumpit emendatio Elmsleii ad Heracl. 559 *ὡς ἐλευθέρως θάνω.* Nam *ἐλευθέρως θανεῖν*, hoc est mori ut liberum decet, etiam ei licet, qui vinculis constrictus ad mortem ducitur. Libera autem sive *ἐλευθέρα* non morietur, nisi quae, demptis illis servitii signis, rursus sui iuris facta sit.

v. 552. De infinitivo *κεκλῆσθαι* post *αἰσχύνομαι* cfr.

λαοὶ δ' ἐπεῤῥόθησαν, Ἀγαμέμνων τ' ἄναξ
εἶπεν μεθεῖναι παρθένον νεανίαις.
[οἱ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.]
κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
ἔῤῥηξε λαγόνος ἐς μέσον παρ' ὀμφαλόν,
μαστούς τ' ἔδειξε στέρνα θ' ὡς ἀγάλματος
κάλλιστα· καὶ καθεῖσα πρὸς γαῖαν γόνυ
ἔλεξε πάντων τλημονέστατον λόγον·
ἰδού, τόδ' εἰ μὲν στέρνον, ὦ νεανία,
παίειν προθυμεῖ, παῖσον, εἰ δ' ὑπ' αὐχένα
χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.
ὁ δ' οὐ θέλων τε καὶ θέλων οἴκτῳ κόρης
τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς·
κρουνοὶ δ' ἐχώρουν. ἡ δὲ καὶ θνήσκουσ' ὅμως
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμων πεσεῖν,
κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

Krueg. I § 55, 3, 18. Sensus est: nolim serva vocari, qnae regia stirpe nata sum.

v. 555. Recte hos versus et ipsos futilissimos et rectam narrationis continuationem perturbantes post Jacobsium exercit. crit. in ant. script. T. I p. 25 Matthiaeus ab interpolatoris manu profectos iudicavit.

v. 558. Verba *ἐξ ἄκρας ἐπωμίδος* coniunge cum verbo *ἔῤῥηξε*, *ἐπωμίδα* intellege propter *λαγόνος ἐς μ. π. ο.* non vestimentum, sed corporis partem cl. Poll. II 133 *κλειδῶν τὸ μὲν πρὸς ὠμοπλάτας ἐπωμίς.*

v. 560. Pulcri homines haud raro cum statuis sive *ἀγάλμασι* comparantur. Plato Charmid. p. 154 C: *ἀλλὰ πάντες ὥσπερ ἄγαλμα ἐθεῶντο αὐτόν.* Phaedr. p. 251 A: *θύοι ἂν ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς.* Philostratus de Vit. Soph. II p. 612: *καὶ γὰρ ἐπίχαρις καὶ ἀγαλματίας, οἷα ἔφηβοι* (f. *ἔφηβος*). Cf. Heroic. cap. XVII p. 725. Achill. Tat. V 11, p. 113, 12.

v. 562. *τλημονέστατον*, fortissimum. Vid. Elmsl. ad Heracl. 570.

v. 569. *εὐσχήμων* servavit Plinius epist. IV 11, 9 idemque in suo libro legit auctor libri alicuius in Herculan. papyris conservati, quorum ex 831 col. 1 locum *θνήσκουσα ὅμως πρόνοιαν εἶχε μήποτε ἀσχήμων πεσεῖν* protulit Gomperz. Beitr. z. Krit. und Erkl. griech. Schriftst. II. z. Eur. p. 13. Libri Euripidis plerique habent barbaram formam *εὐσχήμως*, auctoritate Et. M. 398, 19 *εὔσελμος τροπῇ τοῦ α εἰς ος ὡς σχῆμα εὔσχημος* et Gud. 221, 40 haud satis probatam; alii *εὐσχημόνως*.

v. 569—570. Hoc quoque, iure notatum ut *κακόζηλον* ab Hermogene p. 75, 40 Ald., imitatus est, qui in tota de Polyxena narratione Euripidem expressit, Ovidius Met. XIII 479: *Tunc quoque cura fuit partes*

ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον·
ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
φύλλοις ἔβαλλον, οἱ δὲ πληροῦσιν πυρὰν
κορμοὺς φέροντες πευκίνους, ὁ δ' οὐ φέρων
πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά·
ἕστηκας, ὦ κάκιστε, τῇ νεάνιδι
οὐ πέπλον οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ
ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς λέγω
παιδὸς θανούσης· εὐτεκνωτάτην δέ σε
πασῶν γυναικῶν δυστυχεστάτην θ' ὁρῶ.
ΧΟ. δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε
πόλει τε τἠμῇ θεῶν ἀναγκαῖον τόδε.

velare tegendas, Cum caderet, castique decus servare pudoris. Euripidea etiam Achilli Tatio ob oculos versabantur IV 9 p. 89, 26: *ἡ δὲ προσεπάλαιεν ἡμῖν, οὐδὲν φροντίζουσα κρύπτειν ὅσα γυνὴ μὴ ὁρᾶσθαι θέλει.*

v. 574. De *φυλλοβολίᾳ*, qua favorem suum qui certamina spectabant victoribus testabantur, egregius est locus Eratosthenis ap. Schol. ad h. l., cuius non immemor fuit hunc morem illustrans Casaubonus ad Sueton. Ner. 25: *Ἐρατοσθένης περὶ τῆς φυλλοβολίας φησὶ ὡς πάλαι, χωρὶς ἄθλων ἀγωνιζομένων ἀνθρώπων, τῷ νικήσαντι καθάπερ ἔρανον εἰσφέροντες ἔρριπτον τῶν θεατῶν ὅπως ἕκαστος ηὐπόρει. διὸ δὴ σύνηθες ἐγίνετο κύκλῳ περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον. οἱ μὲν οὖν ἐμπορευόμενοι διάφορα δῶρα τῶν δὲ λοιπῶν* (haec corrupta sunt), *οἱ μὲν ἐγγὺς καθήμενοι στεφάνους ἐπετίθεσαν, οἱ δὲ ἀνωτέρω, τοῦτο ὅπερ ἦν λοιπόν, ἔβαλλον τοῖς ἄνθεσι καὶ φύλλοις.* Cf. Boeckh. Explicatt. Pind. p. 329.

v. 575. Similia de Persis virum principem Acanthi mortuum honorantibus narrat Herod. VII 117 *ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή.*

v. 576. *κακά*] Probra, convicia. Soph. Phil. 374: *κἀγὼ χολωθεὶς εὐθὺς ἤρασσον κακοῖς Τοῖς πᾶσιν.* Aristoph. Nub. 1373: *ἀλλ' εὐθὺς ἐξαράττω Πολλοῖς κακοῖς κἀσχροῖσι.* Eurip. Alc. 704: *εἰ δ' ἡμᾶς κακῶς Ἐρεῖς, ἀκούσει πολλὰ κοὐ ψευδῆ κακά.* Cf. ad Med. 465.

v. 580. *λέγω* Heathius parum commode. Libri habent *λέγων* vel *λέγον,* unde Reiskius et Erfurdtius *λέγων . . θανούσης εὐτεκνωτάτην τέ σε . . ὁρῶ,* Nauckius *λέγων . . θανούσης δυστυχεστάτην* (aliquot libri *θ'* omittuut) *ὁρῶ πασῶν γυναικῶν, εὐτεκνωτάτην δὲ σέ,* elegantius Heimsoethius *τοιάδ' ἀμφὶ σοῦ λεγον τέκνον θανόντος.* Lacunosus videtur locus, nisi scribendum est *τοιάδ' ἀμφὶ σῆς κλύων παιδὸς θανούσης εὐτεκνωτάτην λέγω π. γ., δυστυχεστάτην δὲ σέ.*

v. 583. *ἐπέζεσε*] H. l. explicat Etym. M. p. 355, 12. Aristoph. Ach. 321: *οἷος αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν.* Coniungenda esse, *δεινόν τι πῆμα τόδε ἀναγκαῖον θεῶν ἐπέζεσεν* monuit Hermannus.

ΕΚ. ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ τι βλέψω κακῶν
πολλῶν παρόντων· ἢν γὰρ ἅψωμαί τινος,
τόδ' οὐκ ἐᾷ με, παρακαλεῖ δ' ἐκεῖθεν αὖ
λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν πάθος
οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός·
τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελθεῖσά μοι
γενναῖος. οὔκουν δεινόν, εἰ γῆ μὲν κακὴ
τυχοῦσα καιροῦ θεόθεν εὖ στάχυν φέρει,
χρηστὴ δ' ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὴν τυχεῖν
κακὸν δίδωσι καρπόν· ἄνθρωποι δ' ἀεὶ
ὁ μὲν πονηρὸς οὐδὲν ἄλλο πλὴν κακός,
ὁ δ' ἐσθλὸς ἐσθλός, οὐδὲ συμφορᾶς ὕπο
φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί.
ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς
δίδαξιν ἐσθλοῦ· τοῦτο δ' ἤν τις εὖ μάθῃ,
οἶδεν τό γ' αἰσχρὸν κανόνι τοῦ καλοῦ μαθών.

v. 588. *διάδοχος κακῶν κακοῖς*] I. e. *ἣ διαδέχεται κακὰ κακοῖς*, quae excipit mala ex malis. Cf. Krueg. II § 47, 26, 7.

v. 591. *τὸ δ' αὖ λίαν*] Supplere possis *στένειν*, sed non opus. Sic in Antiopa fr. 208 N. *αἰδεῖσθαι δὲ χρή, Γύναι, τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον.* Phoen. 584: *μέθετον τὸ λίαν.*

v. 592—602. Parum opportune, meo quidem iudicio, digreditur in locum e media philosophia repetitum, utrum natura virtus an disciplina gigni videatur: quem locum tetigit etiam in Suppl. v. 911 sqq. Electr. 367 sqq. et alibi; suo more tractavit Plato aliique, quos commemorat Boeckhius in Plat. Min. et Legg. p. 45. Quanquam eius modi *ματαιολογιῶν* plenae fabulae Euripideae. Voluit autem, nisi fallor, refutare eam opinionem, quae disciplinae vim ad animum virtute imbuendum tolleret: sed id propter Polyxenae in morte obeunda constantiam, unde facilius quod confirmaret vulgi opinionem quam quod elevaret peti poterat, ita aggressus est, ut quadam cum indignatione mirantem faceret Hecubam, quod alia agri, alia hominum esset conditio, neque bonae aut malae res in hominum ingenia eandem vim haberent atque in segetis prosperitatem. Adiunxit autem certe quid esset honestum disci posse liberali institutione: quod si quis recte percepisset, comparata specie honesti, quid esset turpe ignorare non posse.

v. 595. *ἄνθρωποι* pro *ἀνθρώποις* restituit Hermannus. Etiam elegantius idem *ἐν βροτοῖς δ' ἀεί* coniecit, unde superscripta interpretatione *ἀνθρώποις* facile lectio librorum orta esse potest.

v. 601 sq. Notanda repetitio verbi *μαθεῖν* in extremo versu: quo quidem in genere, ne quid librariorum culpa commissum existimes, paullo neglegentiorem fuisse Euripidem semel monendum est. Nam ne illa quidem

καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην·
σὺ δ' ἐλθὲ καὶ σήμηνον Ἀργείοις τάδε,
μὴ θιγγάνειν μοι μηδέν', ἀλλ' εἴργειν ὄχλον,
τῆς παιδός. ἔν τοι μυρίῳ στρατεύματι
ἀκόλαστος ὄχλος ναυτική τ' ἀναρχία
κρείσσων πυρός, κακὸς δ' ὁ μή τι δρῶν κακόν.
σὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι,
βάψασ' ἔνεγκε δεῦρο ποντίας ἁλός,
ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν
νύμφην τ' ἄνυμφον παρθένον τ' ἀπάρθενον
λούσω προθῶμαί θ'· ὡς μὲν ἀξία, πόθεν;
οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω· τί γὰρ πάθω;

multis in locis valet excusatio, quam indicavit Reisig. Comment. crit. ad Soph. Oed. Col. p. 186.

v. 603. *ἐτόξευσεν*] Eleganter cum telo comparatur oratio. Aesch. Suppl. 446: *καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια.* Soph. Antig. 1084: *τοιαῦτά σου, λυπεῖς γάρ, ὥστε τοξότης Ἀφῆκα θυμῷ καρδίας τοξεύματα.* Eurip. Suppl. 456: *καὶ ταῦτα μὲν δὴ πρὸς τάδ' ἐξηκόντισα.*

v. 605. Verba *ἀλλ' εἴργειν ὄχλον* posita sunt *διὰ μέσου*, ut locuntur grammatici. Sic in hac fabula v. 919: *πόσις ἐν θαλάμοις ἔκειτο, Ξυστὸν δ' ἐπὶ πασσάλῳ, Ναύταν οὐκέθ' ὁρῶν ὅμιλον.* cf. 699, 704. Androm. 974: *ὡς φίλων μὲν ἂν Γήμαιμ' ἀπ' ἀνδρῶν, ἔκτοθεν δ' οὐ ῥάδιον, Φεύγων ἀπ' οἴκων ἃς ἐγὼ φεύγω φυγάς.* Helen. 1579: *ἔτ', ὦ ξέν', ἐς τὸ πρόσθεν, ἢ καλῶς ἔχει, Πλεύσωμεν;* Cf. Cycl. 121, 604. Tro. 627. Rhes. 565 sq. Lobeck. ad Aiac. p. 294. Fritzschii Quaest. Luc. p. 176.

v. 608. *κρείσσων πυρός*] Significat vim, quae aegre cohiberi possit. Androm. 271: *ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,* quo loco cum aliis similibus usus est Musgravius ad Soph. Philoct. 927. Cf. Orest. 696 sq.

v. 610. *βάψασα ποντίας ἁλός* dictum ut *πλήσασα ποντίας ἁλός.*

v. 612. Acutum quoddam genus loquendi, quo substantivis iunguntur adiectiva ab ipsis et *α στερητικῷ* composita. Talis est enim haec ratio, ut, quod rei nomen indideris, eius vim continuo tollas aut minuas certe, idemque et posse dici et non posse indices. Polyxenam *νύμφην ἄνυμφον* dicit Hecuba quia lavacrum parat filiae ut sponsae (cfr. Phoen. 347, Iph. T. 818), verum non nuptiale, sed funebre, *παρθένον ἀπάρθενον* autum, quia ex corpore virginis sensus et animus virginis evanuit. Alia quaeque eiusdemmodi, explicato genere in universum, notasse sufficiet: *γάμος ἄγαμος* Eur. Hel. 690. *δεσμὸς ἄδεσμος* Suppl. 32. *ὁδοὶ ἄνοδοι* Iph. T. 888. *πόλεμος ἀπόλεμος* Herc. 1133. *χάρις ἄχαρις* Iph. T. 566. (cf. Aesch. Prom. 544.)

v. 613. *προτίθεσθαι* vocabulum funebre. Phoen. 1318: *ὅπως Λούσῃ πρόθηταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.* Cf. Suppl. 53. Philostr. Heroic. p. 721. Heeren. ad Menandr. de encom. p. 104.

v. 614. *τί γὰρ πάθω;*] Recte vertunt quid faciam? Proprie est: dubito, quid me fieri oporteat, aut quo animo esse debeam et quomodo affecta. Exempla huius formulae apud Euripidem annotavimus haec: Phoen. 895, ubi dixit de hac re Valckenarius;

κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
ναίουσιν, εἴ τις τοὺς νεωστὶ δεσπότας
λαθοῦσ' ἔχει τι κλέμμα τῶν αὑτῆς δόμων.
ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
ὦ πλεῖστ' ἔχων κάλλιστά τ', εὐτεκνώτατε
Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων,
ὡς ἐς τὸ μηδὲν ἥκομεν, φρονήματος
τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα
ὁ μέν τις ἡμῶν πλουσίοις ἐν δώμασιν,
ὁ δ' ἐν πολίταις τίμιος κεκλημένος.
τὰ δ' οὐδέν· ἄλλως φροντίδων βουλεύματα

Androm. 513, Suppl. 257. Troad. 792. Usus est etiam Homerus Il. λ 404. cf. Anthol. Pal. V 111. interpp. ad Aristoph. Nub. 234.

v. 618. κλέμμα non solum significare potest quod quis per malam fraudem et iniuriam furatus est sed etiam quod furtim sive clam aliquo factum, ut non sit quod κτῆμα vel λῆμμα corrigamus.

v. 619. ὦ σχήματ' οἴκων] Periphrasin pro οἶκοι esse docet Monkius ad Alc. 911. Sed fallitur. Σχῆμα enim primo quidem formam habitumque universe significat: tum aut egregiam formam, pulcritudinem, decus, ut hoc loco et initio Andromachae: Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις, aut deformitatem, tristitiam, squalorem, ut Alc. l. c. Id autem ipsum, quod contraria indicat, argumento est, non esse in ipso vocabulo hanc vim, sed traxisse aliquid ex tenore et conditione sententiarum. Soph. Antig. 1169: καὶ ζῆ τύραννον σχῆμ' ἔχων. Xenoph. Oec. II 4: εἰς δὲ τὸ σὸν σχῆμα, ὃ σὺ περιβέβλησαι, καὶ τὴν σὴν δόξαν, οὐδ' εἰ τρὶς ὅσα νῦν κέκτησαι προσγένοιτό σοι, οὐδ' ὣς ἂν ἱκανά μοι δοκεῖ εἶναί σοι.

v. 620. Recte interpungitur post κάλλιστά τε: πλεῖστα κάλλιστά τε dictum ut πολλά καὶ καλά. Porsonus iungi volebat κάλλιστα εὐτεκνώτατε, sed, ut recte monuit Matth., neque καλῶς εὔτεκνος dicitur, et multo minus κάλλιστα εὐτεκνώτατος. Cf. Reisig. ad Soph. Oed. Col. p. 342.

v. 623. ὀγκούμεθα] Usitatum hoc verbum de fastu opulentiorum. El. 381: οὔτ' αὖ δοκήσει δωμάτων ὠγκωμένος. Soph. Ai. 129: μηδ' ὄγκον ἄρῃ μηδέν', εἴ τινος πλέον Ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει. Mox κεκλημένος idem fere valet atque ὤν. cf. 480. Herc. 1291: κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ Αἱ μεταβολαὶ λυπηρόν.

v. 626. ἄλλως φρ. β.] Vana opinionum commenta. Lucian. Phalar. I § 12: εἰ μὴ κενὴ ἄλλως ὑπόσχεσις ταῦτά ἐστι. de gymn. § 32: λῆρος καὶ παιδιὰ ἄλλως. Dio Chrysost. Or. LV p. 286 R.: οἱ δὲ πολλοὶ μάτην οἴονται τὰ τοιαῦτα λέγεσθαι καὶ ὄχλον ἄλλως καὶ φλυαρίαν ἡγοῦνται. Eurip. Cycl. 316: ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεός· Τὰ δ' ἄλλα κόμποι καὶ λόγων εὐμορφίαι. Aelian. H. A. VII 1: καὶ ὡς οὐκ ἔστιν ἄλλως κόμπος τὸ εἰρημένον, μάρτυς ὁ λόγος. Ibid. VII 29: οὐ μυθοποίημα οὐδὲ κόμπος ποιητικός.

γλώσσης τε κόμποι. κεῖνος ὀλβιώτατος,
ὅτῳ κατ᾽ ἦμαρ τυγχάνει μηδὲν κακόν.

ΧΟΡΟΣ.

(στροφή.)


ἐμοὶ χρῆν συμφοράν,
ἐμοὶ χρῆν πημονὰν γενέσθαι,
Ἰδαίαν ὅτε πρῶτον ὕλαν
Ἀλέξανδρος εἰλατίναν
ἐτάμεθ᾽, ἅλιον ἐπ᾽ οἶδμα ναυστολήσων
Ἑλένας ἐπὶ λέκτρα, τὰν
καλλίσταν ὁ χρυσοφαὴς
Ἅλιος αὐγάζει.

(ἀντιστροφή.)

πόνοι γὰρ καὶ πόνων
ἀνάγκαι κρείσσονες κυκλοῦνται.
κοινὸν δ᾽ ἐξ ἰδίας ἀνοίας

v. 629. Canticum hoc ex Glyconeis versibus est aliisque, ut assolet, cognatis numeris compositum.

στρ. — ἐπῳδός.



v. 627 sq. Ennianum *'nimium boni est, cui nil mali est'* comparavit Muretus.

v. 628. Quam ob causam Hecuba intus abeat (cfr. v. 665), ex v. 615 sq. apparet.

v. 629—657. Praedicat chorus utrique populo, Graecis et Troianis, communem exitii luctusque causam fuisse Paridis de tribus deabus iudicium deductasque ad petendum Helenae coniugium naves.

v. 629. Saepe ut hic adsignificatur verbo χρῆναι res fatalis (εἱμαρμένον, πεπρωμένον). De sententia conferre licet Hel. 229 φεῦ φεῦ, τίς . . ἔτεμε τὰν δακρυόεσσαν Ἰλίῳ πεύκαν; ἔνθεν ὀλόμενον σκάφος συναρμόσας ὁ Πριαμίδας ἔπλευσε τὰν ἐμὰν ἐφ᾽ ἑστίαν et initium Medeae.

v. 635. ἐπὶ λέκτρα] vid. Krueg. I § 68, 42, 2.

v. 639. ἀνάγκαι] 'Mala servitutis', cf. Soph. Aiac. 485. Eurip. Andr. 132. Matthiaeus interpretatur 'calamitates fatales', quae non video quomodo satis recte πόνοις opponantur.

v. 640. ἐξ ἰδίας ἀνοίας] I. e. ἐξ ἀνοίας ἰδιώτου, Paridis. Sunt autem κοινὸν et ἰδίας opposita,

κακὸν τᾷ Σιμουντίδι γᾷ
ὀλέθριον ἔμολε, συμφορά τ' ἀπ' ἄλλων.
ἐκρίθη δ' ἔρις, ἃν ἐν Ἴ-
δᾳ κρίνει τρισσὰς μακάρων
παῖδας ἀνὴρ βούτας,

(ἐπῳδός.)

ἐπὶ δορὶ καὶ φόνῳ καὶ ἐμῶν μελάθρων λώβᾳ·
στένει δὲ καί τις ἀμφὶ τὸν εὔροον Εὐρώταν
Λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα,
πολιόν τ' ἐπὶ κρᾶτα μάτηρ
τέκνων θανόντων τίθεται χέρα,
δρύπτεταί τε παρειάν,
δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς.

ΘΕΡΑΠΑΙΝΑ.

γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία,
ἡ πάντα νικῶσ' ἄνδρα καὶ θῆλυν σπορὰν
κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.

ΧΟ. τί δ', ὦ τάλαινα σῆς κακογλώσσου βοῆς;
ὡς οὔποθ' εὕδει λυπρά σου κηρύγματα.

ut sensus sit, insaniam unius civis universam civitatem perdidisse.

v. 643. *ἀπ' ἄλλων* cum reticentia quadam dicitur, quia chorus veretur *deos* incusare; res ipsa declaratur verbis quae sequuntur *ἐκρίθη δ' ἔρις . . ἐπὶ . . ἐμῶν μελάθρων λώβᾳ*.

v. 644. *ἃν — κρίνει τρισσὰς μ. π.*] Constructionem illustrat Krueg. I § 46, 11. *Μακάρων παῖδας* nota circumscriptionis formula, ut *παῖδες Ἑλλάνων* v. 930.

v. 647. *ἐπὶ δορὶ καὶ — λώβᾳ*] Praepositio eventum indicat. Herc. 881: *ὡς ἐπὶ λώβᾳ*. Iph. A. 548: *ὅθι δὴ δίδυμ' Ἔρως ὁ χρυσοκόμας τόξ' ἐντείνεται χαρίτων, τὸ μὲν ἐπ' εὐαίωνι πότμῳ, τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς*. Aesch. Sept. 878: *δόμων ἐπὶ λύμῃ*.

v. 649. *στένει δὲ καί τις* etc.] ‚Multae etiam Graecarum mulierum lugent.' Ceterum non dubito, quin quaesita sit soni similitudo in verbis *εὔροον Εὐρώταν*.

v. 658. Famula, quam Hecuba, antequam ipsa ad apparandum funebrem ornatum Polyxenae in tentorium digrederetur, miserat, ut aquam afferret (cf. v. 609), nunc redit secum portans veste amictum Polydori cadaver, quod a mari eiectum susceperat.

v. 661. *ὦ τάλαινα — βοῆς*] Orest. 1286: *ὦ τάλαιν' ἐγὼ κακῶν*. Med. 1028: *ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας*, ubi plura Elmsleius v. 996 suae editionis. Eadem ratio constructionis infra v. 783: *ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων*. Androm. 1179: *ὦ σχέτλιος παθέων ἐγώ*. cf. Krueg. I § 47, 3, 2.

v. 662. *εὕδει*] Eleganter pro cessat, conticescit. Hom. Il. ε 524: *ὄφρ' εὕδῃσι μένος Βορέαο*. Solon. fr. IV 19 Bgk. *πόλεμον εὕδοντ' ἐπεγείρει*. Cf. Suppl.

ΘΕ. Ἑκάβη φέρω τόδ' ἄλγος· ἐν κακοῖσι δὲ
οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.
ΧΟ. καὶ μὴν περῶσα τυγχάνει δόμων ὕπερ
ἥδ', ἐς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.
ΘΕ. ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,
δέσποιν', ὄλωλας, οὐκέτ' εἶ, βλέπουσα φῶς,
ἄπαις, ἄνανδρος, ἄπολις, ἐξεφθαρμένη.
ΕΚ. οὐ καινὸν εἶπας, εἰδόσιν δ' ὠνείδισας.
ἀτὰρ τί νεκρὸν τόνδε μοι Πολυξένης
ἥκεις κομίζουσ', ἧς ἀπηγγέλθη τάφος
πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;
ΘΕ. ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.
ΕΚ. οἲ 'γὼ τάλαινα, μῶν τὸ βακχεῖον κάρα
τῆς θεσπιῳδοῦ δεῦρο Κασάνδρας φέρεις;
ΘΕ. ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις
τόνδ'. ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
εἴ σοι φανεῖται θαῦμα καὶ παρ' ἐλπίδας.
ΕΚ. οἴμοι, βλέπω δὴ παῖδ' ἐμὸν τεθνηκότα
Πολύδωρον, ὅν μοι Θρῂξ ἔσῳζ' οἴκοις ἀνήρ.

1147. Phoen. 634. Ceterum quaerat aliquis, quid tandem acerbi praeter eam rem, quam nuntiatura est, attulerit haec famula, ut eam chorus increparet. Non memini legere illam aliorum malorum nuntiam; sed quae in domo Hecubae aetatem exegisset (v. 609) ac socia fuisset illius cladis, qua Troianae opes eversae sunt, eam sane probabile est multa minime laeta iam olim ad dominam pertulisse.

v. 665. Cum libri fluctuent inter *δόμων ὕπερ* et *δόμων ἄπο*, neutrum recte se habere videtur. Heimsoethius coniecit *δόμων πάρος*. Sed cum in v. sq. liber Marcianus habet *ἥδ' ἐς καιρόν* omisso *δέ*, fortasse poeta scripsit haec: *καὶ μὴν περῶσα τυγχάνει γὰρ ἐκ δόμων* (ut Soph. Ant. 386 *ὅδ' ἐκ δόμων . . περᾷ*), *ἐς καιρὸν ἥδε σοῖσι φ. λόγοις*. Cfr. Hel 1385 *ἀλλ' ἐκπερᾷ γὰρ δωμάτων . . , σιγητέον μοι.*

v. 667. *κἄτι μᾶλλον ἢ λέγω*] Alc. 1082: *ἀπώλεσέν με κἄτι μᾶλλον ἢ λέγω.* El. 1185: *ἄλαστα, μέλεα καὶ πέρα παθοῦσα.* Infra v. 1121: *ἀπώλεσ', οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.* Cf. Fritzschii Quaest. Luc. p. 121.

v. 668. Virgulam post *εἶ*, quae olim aberat, posui auctore Reisigio Synt. crit. p. 10. Sensus est: cum vivas, tamen tanta est miseriarum moles, ut mortuae instar sis. Cf. Soph. Phil. 1018: *ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν.*

v. 670. *οὐ καινὸν*] Sc. *τι.* Sic Helen. 1043: *ἀδύνατον εἶπας.* El. 275: *αἰσχρόν γ' εἶπας.* Vid. Heind. ad Plat. Gorg. § 47. Fritzsch. l. l. p. 92 sqq.

v. 673. *σπουδὴν ἔχειν* hic valet non *σπουδάζειν*, sed *σπουδάζεσθαι*, cfr. 352 *ζῆλον ἔχουσα.*

v. 682. *οἴκοις*] Domi. Infr. 1014: *ταῖσδε σῴζεται στέγαις.*

ἀπωλόμην δύστηνος, οὐκέτ' εἰμὶ δή.
ὦ τέκνον, τέκνον,
αἰαῖ, κατάρχομαι νόμον
βακχεῖον ἐξ ἀλάστορος
ἀρτιμαθὴς κακῶν.
ΘΕ. ἔγνως γὰρ ἄτην παιδός, ὦ δύστηνε σύ;
ΕΚ. ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι.
ἕτερα δ' ἀφ' ἑτέρων κακὰ κακῶν κυρεῖ·
οὐδέποτ' ἀστένακτος ἀδάκρυτος ἁ-
μέρα ἐπισχήσει.
ΧΟ. δείν', ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.
ΕΚ. ὦ τέκνον, τέκνον ταλαίνας ματρός,
τίνι μόρῳ θνήσκεις, τίνι πότμῳ κεῖσαι;
πρὸς τίνος ἀνθρώπων;
ΘΕ. οὐκ οἶδ'· ἐπ' ἀκταῖς νιν κυρῶ θαλασσίοις.
ΕΚ. ἔκβλητον, ἢ πέσημα φοινίου δορός,
ἐν ψαμάθῳ λευρᾷ;

457: **οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις.**

v. 684—720. Hunc **κομμὸν** liberum solutumque esse antistrophicae responsionis lege, Hermannus improbatis suis et Seidleri conatibus monuit in edit. Numeri sunt dochmiaci, interpositis iambicis, primo quidem duobus dimetris vv. 684. 685, deinde trimetris.

v. 685. **κατάρχομαι νόμον β.**] Orest. 960: **κατάρχομαι στεναγμόν**, ubi alia huius constructionis exempla indicavit Musgravius, Hom. Od. γ 445. Lycophr. 209. Athen. XIV p. 622 C. Cf. Krueg. I § 47, 13, 8.

v. 686. **κακῶν** parum commodum est, cum aperte sensum habeas: 'incipio bacchicum carmen quod modo **ἀλάστωρ** me docuit' i. e. quod ipsa rei indignitas mihi exprimit. Cfr. Soph. Ai. 699 **ὀρχήματ' αὐτοδαῆ.** Quamobrem variae lectioni quam habet cod. Marc. **γρ. ἀρτιμαθῆ νόμον** subesse videtur vera lectio **ἀρτιμαθὴς νέον.**

v. 690. 'Nunquam dies sine lacrimis, sine gemitu extendetur' i. e. nunquam dies per totum spatium lacrimis liber erit.

v. 695. **τίνι μόρῳ**, quo genere mortis, **τίνι πότμῳ**, quo casu. **θνήσκεις**: pro praeterito. Infra 773: **θνήσκει δὲ πρὸς τοῦ καὶ τίνος πότμου τυχών**; Bacch. 1041: **τίνι μόρῳ θνήσκει Ἄδικος ἄδικά τ' ἐκπορίζων ἀνήρ.** V. Jacobs. ad Anthol. Palat. p. 265. **Κεῖσθαι**, mortuum esse. Aesch. Agam. 1438: **κεῖται γυναικὸς τῆσδε λυμαντήριος.** Conf. ad v. 210.

v. 698. De constructione verbi **κυρῶ** cum accusativo vid. Krueg. II § 47, 14, 4.

v. 700. Verba **ἐν ψ. λ.** vulgo verbis ancillae quae sequuntur addebantur; Hecubae tribuenda esse monuit Hermannus, cum ancillam, quae nuntii officio fungitur, non nisi trimetris uti deceat. Coniungenda verba cum **ἔκβλητον.** De interpositis verbis **ἢ . . δορός** cfr. ad v. 605. — Ante vel post verba **ἐν ψ. λ.** alterum dochmium intercidisse suspicatur Dindorfius. Fortasse

ΘΕ. πόντου νιν ἐξήνεγκε πελάγιος κλύδων.
ΕΚ. ὤμοι, αἰαῖ, ἔμαθον ἐνύπνιον ὀμμάτων
ἐμῶν ὄψιν, οὔ με παρέβα φά-
σμα μελανόπτερον,
ἃν ἐσεῖδον ἀμφί σ',
ὦ τέκνον, οὐκέτ' ὄντα Διὸς ἐν φάει.
ΧΟ. τίς γάρ νιν ἔκταν'; οἶσθ' ὀνειρόφρων φράσαι;
ΕΚ. ἐμὸς ξένος, Θρῄκιος ἱππότας,
ἵν' ὁ γέρων πατὴρ ἔθετό νιν κρύψας.
ΧΟ. οἴμοι τί λέξεις; χρυσὸν ὡς ἔχοι κτανών;
ΕΚ. ἄρρητ', ἀνωνόμαστα, θαυμάτων πέρα,
οὐχ ὅσι', οὐδ' ἀνεκτά. ποῦ δίκα ξένων;
ὦ κατάρατ' ἀνδρῶν, ὡς διεμοιράσω
χρόα, σιδαρέῳ τεμὼν φασγάνῳ
μέλεα τοῦδε παιδός, οὐδ' ᾤκτισας.
ΧΟ. ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
δαίμων ἔθηκεν, ὅστις ἐστί σοι βαρύς.
ἀλλ' εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας
Ἀγαμέμνονος, τοὐνθένδε σιγῶμεν, φίλαι.

ΑΓΑΜΕΜΝΩΝ.

Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ

huc revocandum *αἰαῖ τῶν κακῶν*, in cod. B ad v. 692 adscriptum. Verba *οὔ με παρέβα φάσμα μελανόπτερον* interpellant orationis tenorem ea ratione, de qua supra dictum ad v. 605. Nam *ἂν* referendum ad *ὄψιν*.

v. 702. *ἐνύπνιον* adiectivum est cum *ὄψιν* coniungendum.

v. 704. Alterius dochmii restituendi causa Matthiaeus *φάντασμα*, Hermannus *οὐδὲ παρέβα με φάσμα* coniecit.

v. 706 sq. Verba *ἂν . . ἀμφί σ'* ut loco dochmii qui interciderit interpolata secludit Dind. Fortasse poeta scripsit *μελανόπτερον | σοῦ, τέκνον, οὐκέτ' ὄντος Διὸς ἐν φάει.*

v. 709. *ὀνειρόφρων*, somnii indicio, ut interpretatur Herm.

v. 711. *ἵνα* referendum ad *Θρῄκῃ*, quod latet in adiectivo *Θρῄκιος*. Nam cum persona, vehementer dubito, an non possit coniungi. Andr. 652: *οὖσαν μὲν Ἠπειρῶτιν, οὗ πεσήματα Πλεῖσθ' Ἑλλάδος πέπτωκε δοριπετῆ νεκρῶν.*

v. 714. *ἀνωνόμαστα*] Infanda, tristia. Hom. Od. *τ* 260: *Κακοΐλιον οὐκ ὀνομαστήν.*

v. 715. Requiritur alter dochmius: Nauckius tentat *ποῦ θεῶν δίκα;*

v. 716. *ὦ κατάρατ' ἀνδρῶν*] Vid. Krueg. II § 47, 28, 8.

v. 724. *δέμας* circumscriptioni inservit. Or. 107: *τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;* Iph. A. 936: *οὐ γὰρ ἐμπλέκειν πλοκὰς Ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.* Iph. T. 1440: *ἀδελφῆς τ' Ἄργος ἐσπέμψων δέμας.*

ἐλθοῦσ', ἐφ' οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι
μὴ θιγγάνειν σῆς μηδέν' Ἀργείων κόρης;
ἡμεῖς μὲν οὖν ἐῶμεν, οὐδὲ ψαύομεν·
σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
ἥκω δ' ἀποστελῶν σε· τἀκεῖθεν γὰρ εὖ
πεπραγμέν' ἐστίν, εἴ τι τῶνδ' ἐστὶν καλῶς.
ἔα· τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
θανόντα Τρώων; οὐ γὰρ Ἀργεῖον πέπλοι
δέμας περιπτύσσοντες ἀγγέλλουσί μοι.
ΕΚ. δύστην', ἐμαυτὴν γὰρ λέγω, λέγουσα σέ,
Ἑκάβη, τί δράσω; πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;
ΑΓ. τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν
δύρει, τὸ πραχθὲν δ' οὐ λέγεις, τίς ἔσθ' ὅδε.
ΕΚ. ἀλλ' εἴ με δούλην πολεμίαν θ' ἡγούμενος
γονάτων ἀπώσαιτ', ἄλγος ἂν προσθείμεθ' ἄν.
ΑΓ. οὔτοι πέφυκα μάντις, ὥστε μὴ κλύων
ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.
ΕΚ. ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
μᾶλλον φρένας τοῦδ', ὄντος οὐχὶ δυσμενοῦς;
ΑΓ. εἴ τοί με βούλει τῶνδε μηδὲν εἰδέναι,
ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.

v. 727. ἐφ' οἷσπερ nostrum est 'auf das hin was' cfr. Krueg. I § 68, 41, 8.

v. 729. Nauckius εἰῶμεν et cum Bothio οὐδ' ἐψαύομεν. Nullam offensionem οὐδὲ ψαύομεν habere propter caesuram hephthem., docui in stud. Aesch. p. 130. Cfr. Christ. Metr. § 365.

v. 731. τἀκεῖθεν] Med. 1117: καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται. Iph. T. 1410: σοὶ τὰς ἐκεῖθεν σημανῶν, ἄναξ, τύχας. Cf. Or. 851. Heracl. 141. Heind. ad Plat. Gorg. § 61. Krueger. ad Dionys. p. 302.

v. 732. ἐστὶν καλῶς] De adverbio cum verbo substantivo coniuncto optime dixit, me iudice, Stallbaumius ad Platonis Euthyphr. p. 10. Cf. Krueg. I § 62, 2, 3.

v. 736. Non respondet primo Hecuba, sed quae loquitur usque ad v. 751, secum loqui putanda est, sciscitante interim Agamemnone miri illius silentii causas, postremo paullulum etiam offenso tanta tacendi pertinacia. λέγουσα σέ i. e. ex nostra dicendi ratione λέγουσα 'σύ', quod σύ inest in vocativo δύστηνε.

v. 739. προσώπῳ — σόν] Ori meo tergum obvertens.

v. 742. ἄλγος ἂν προσθείμεθ' ἄν] 'dolorem malo nostro addamus'.

v. 745 sq. Particula γὲ opponitur cogitatio veritati (ὄντος). Item μᾶλλον pertinet ad sensum ἐκλογίζεσθαι (ἐμὲ) μᾶλλον ἢ εἶναι (ἐκεῖνον).

v. 748. ἐς ταὐτὸν ἥκεις] Scil. ἐμοί, idem sentis atque ego, eadem utrique nostrum mens est. In Orest. 1280 parti chori, satis

ΕΚ. οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
τέκνοισι τοῖς ἐμοῖσι. τί στρέφω τάδε;
τολμᾶν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων
καὶ σοῦ γενείου δεξιᾶς τ' εὐδαίμονος.
ΑΓ. τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
αἰῶνα θέσθαι; ῥᾴδιον γάρ ἐστί σοι.
ΕΚ. οὐ δῆτα· τοὺς κακοὺς δὲ τιμωρουμένη
αἰῶνα τὸν ξύμπαντα δουλεῦσαι θέλω.
ΑΓ. καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;
ΕΚ. οὐδέν τι τούτων ὧν σὺ δοξάζεις, ἄναξ.
ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;
ΑΓ. ὁρῶ· τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.
ΕΚ. τοῦτόν ποτ' ἔτεκον κἄφερον ζώνης ὕπο.
ΑΓ. ἔστιν δὲ τίς σῶν οὗτος, ὦ τλῆμον, τέκνων;
ΕΚ. οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.
ΑΓ. ἦ γάρ τιν' ἄλλον ἔτεκες ἢ κείνους, γύναι;
ΕΚ. ἀνόνητά γ', ὡς ἔοικε, τόνδ' ὃν εἰσορᾷς.

omnia, qua speculetur, explorata nuntianti respondet altera pars: **εἰς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῇδ' ὄχλος.**

v. 754 sq. Vereor, ne eadem sit aut similis horum verborum sententia atque illorum, quae Persi Macedonum regi, ne duceretur in triumpho, deprecanti respondisse fertur Aemilius Paullus, in cuius vita Plutarchus c. 34: **καίτοι προσέπεμψε** (scil. Perseus) **τῷ Αἰμιλίῳ δεόμενος μὴ πομπευθῆναι καὶ παραιτούμενος τὸν θρίαμβον. Ὁ δὲ τῆς ἀνανδρίας αὐτοῦ καὶ φιλοψυχίας, ὡς ἔοικε, καταγελῶν Ἀλλὰ τοῦτό γ', εἶπε, καὶ πρότερον ἦν ἐπ' αὐτῷ καὶ νῦν ἔστιν, ἂν βούληται· δηλῶν τὸν πρὸ αἰσχύνης θάνατον.** [Dignus erat rex ignavissimus, qui illud deprecationis responsum ferret. Reginae autem sine crimine miserrimae fortunaeque malis oppressae tale consilium ab Agamemnone dari non putaverim, praesertim cum se supra (553) clementem praebuerit, nec in sequentibus durum animum prodat. F. I.]

v. 759. **οὐδέν τι τούτων**] Scil. **αἰτοῦμαι** vel **μαστεύω**, aut simile quid. Sed hanc molestiam sustulit Hirzelius de Eur. in comp. div. arte p. 52, qui melius Hermanno turbatum et versuum et sententiarum ordinem restituit inter v. 759 et 760 interposito versu 758, cuius loco alia interrogatio Agamemnonis interciderit. Fortasse tamen nihil nisi v. 759 amovendus est ut additus cum v. 756—758 loco suo moti essent, quippe qui sint omissi in libro Marciano et Vaticano, transpositi post v. 779 in libro Veneto 468.

v. 762. **ἔτεκον κἄφερον ζ. ὕ.**] Figura, quam **πρωθύστερον** vocant grammatici. El. 969: **πῶς γὰρ κτάνω νιν, ἥ μ' ἔθρεψε κἄτεκεν;** Vid. Schaefer. Melet. crit. p. 16. ad Sophocl. Oed. T. 827.

v. 766. **ἀνόνητά γ'**] Peperi sane, sed ut in hoc, quem vides, fructum pariundi nullum perceperim. Hipp. 1145: **ὦ τά-**

ΑΓ. ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πτόλις;
ΕΚ. πατήρ νιν ἐξέπεμψεν ὀρρωδῶν θανεῖν.
ΑΓ. ποῖ τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;
ΕΚ. ἐς τήνδε χώραν, οὗπερ ηὑρέθη θανών.
ΑΓ. πρὸς ἄνδρ', ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;
ΕΚ. ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.
ΑΓ. θνήσκει δὲ πρὸς τοῦ καὶ τίνος πότμου τυχών;
ΕΚ. τίνος δ' ὑπ' ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.
ΑΓ. ὦ τλῆμον, ἦ που χρυσὸν ἠράσθη λαβεῖν;
ΕΚ. τοιαῦτ', ἐπειδὴ ξυμφορὰν ἔγνω Φρυγῶν.
ΑΓ. ηὗρες δὲ ποῦ νιν, ἢ τίς ηνεγκεν νεκρόν;
ΕΚ. ἥδ' ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.
ΑΓ. τοῦτον ματεύουσ', ἢ πονοῦσ' ἄλλον πόνον;
ΕΚ. λούτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.
ΑΓ. κτανών νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.
ΕΚ. θαλασσόπλαγκτόν γ', ὧδε διατεμὼν χρόα.
ΑΓ. ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων.
ΕΚ. ὄλωλα, κοὐδὲν λοιπόν, Ἀγάμεμνον, κακῶν.
ΑΓ. φεῦ φεῦ· τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
ΕΚ. οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
ἀλλ' ὧνπερ εἵνεκ' ἀμφὶ σὸν πίτνω γόνυ,
ἄκουσον. εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,

λαινα μᾶτερ, ἔτεκες ἀνόνατα, cf. El. 507.

v. 771. *Πολυμήστωρ*] Nomen, quod cum **ἄνδρα** construi debebat, traiectum est et accommodatum ad relativum. Homer. Od. α 69: **Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν, Ἀντίθεον Πολύφημον.** Infra v. 986. Hipp. 101: **τήνδ', ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις,** quo loco usus est de eadem loquendi ratione disputans Heindorfius ad Plat. Phaedon. § 30 p. 66 E.

v. 776. **τοιαῦτ'**] Vim affirmandi habet, ut Electr. 645. Similiter **ταῦτα** apud Aristophanem, docente Heindorfio ad Plat. Phaedon. § 61.

v. 779. 780. Hos versus nemo desideraret, si abessent. Sed sic saepe Euripides cum aliis in rebus, tum maxime in colloquiis moderandis perquam exilis est. Herm.

v. 782. **θαλασσόπλαγκτόν γ'**] De particulae potestate monitum ad v. 246. 766.

v. 786. Poeta apud Stobaeum Floril. XXXVIII 16 (fr. adesp. 447 N.) **οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς, Οὐδ' εἰ φθόνου γένοιτο δυσμενέστερος.** Alia eiusdem generis dicta laudarunt interpp. ex Terent. Ad. IV 7, 43: ipsa si cupiat Salus, Servare prorsus non potest hanc familiam; Trabeae ap. Cic. Tusc. IV 31: Fortunam ipsam anteibo fortunis meis; Plauti Asin. II 2, 1: Ubi ego nunc Libanum requiram aut familiarem filium, Ut ego illos lubentiores faciam quam Lubentiast.

στέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
τιμωρὸς ἀνδρὸς ἀνοσιωτάτου ξένου,
ὃς οὔτε τοὺς γῆς νέρθεν οὔτε τοὺς ἄνω
δείσας δέδρακεν ἔργον ἀνοσιώτατον,
κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοί,
ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων·
τυχὼν δ' ὅσων δεῖ καὶ λαβὼν προμηθίαν
ἔκτεινε, τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως·
ἀλλ' οἱ θεοὶ σθένουσι χὠ κείνων κρατῶν
νόμος· νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
καὶ ζῶμεν ἄδικα καὶ δίκαι' ὡρισμένοι·
ὃς ἐς σ' ἀνελθὼν εἰ διαφθαρήσεται,

v. 793. Magnum illa mensae sacra communio vinculum pietatis, nec quicquam magis nefarium videbatur quam eum, qui iisdem epulis assedisset adeoque in hospitii ius venisset, violare. Hom. Od. φ 27: ὅς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ· Σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' οὐδὲ τράπεζαν, Τὴν δή οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν. Achill. Tat. III, 21, p. 78, 18: ταῦτα λέγων ἐδεόμην Δία ξένιον καλῶν καὶ κοινῆς ἀναμιμνήσκων τραπέζης. Cf. Huschkii diss. de fabulis Archilochi p. 14 sq.

v. 794 sq. Suspecta viris doctis verba πρῶτα τῶν ἐμῶν φίλων, neque iniuria, cum 'viri principes ac primarii' semper τὰ πρῶτα, nusquam πρῶτα absque articulo dicantur. Cum depravatam esse hanc lectionem ex illa, quam de coniectura reposuit Porsonus, πρῶτος ὢν ἐμῶν φίλων, parum sit probabile, cum praeterea ξενίας ἀριθμῷ haud satis commodam habeant explicationem neque ea quae sequuntur λαβὼν προμηθίαν dubitatione vacent — Hermannus coniecit λαβὼν προθυμίαν —, recte videtur Matthiaeus v. 794. 795, Dindorfius 796. 797 ut spurios seclusisse, quibus addidit Nauckius v. 793.

v. 796. τύμβου δ' — οὐκ ἠξίωσεν] Brevis et concisa dictio, quam sic fere plenam reddideris: τύμβου δ', εἰ κτανεῖν ἐβούλετο, οὐ δέον ἀποστερῆσαι, οὐκ ἠξίωσεν.

v. 798. ἴσως] Recepta in urbanum modestumque Atticorum sermonem vox, etiamsi nihil aut ipse dubites aut alios dubitare velis. V. Buttm. ad Soph. Phil. 180.

v. 799. Respexit nobilissimam Pindari sententiam, νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων, de qua consulendus Boeckh. T. II P. II p. 640. Intellegitur autem lex naturae sive ordo rerum fatalis, cui ipsi etiam dii obnoxii. Cf. Aesch. Prom. 525 sqq. Ex eadem suprema lege omnis suspensa est religio ac sanctimonia deorum; ad eandem referuntur, quibus vita humana continetur, iusti iniustique discrimina. Cum verbis τοὺς θεοὺς ἡγούμεθα cfr. Bacch. 1326 ἡγείσθω θεούς, Hel. 119 εἰ δ' οὖσα μάντις καὶ τὰ θεῖ' ἡγουμένη τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς.

v. 802. ὃς refer ad praecedens

καὶ μὴ δίκην δώσουσιν οἵτινες ξένους
κτείνουσιν ἢ θεῶν ἱερὰ τολμῶσιν φέρειν,
οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος αἰδέσθητί με,
οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς
ἰδοῦ με κἀνάθρησον οἷ' ἔχω κακά.
τύραννος ἦ ποτ', ἀλλὰ νῦν δούλη σέθεν,
εὔπαις ποτ' οὖσα, νῦν δὲ γραῦς ἄπαις θ' ἅμα,
ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν.
οἴμοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;
ἔοικα πράξειν οὐδέν· ὦ τάλαιν' ἐγώ.
τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
μοχθοῦμεν ὡς χρὴ πάντα καὶ μαστεύομεν,
πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην
οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν
μισθοὺς διδόντες μανθάνειν, ἵν' ἦν ποτε

νόμος (v. 800). Cfr. Suppl. 561 ***οὐ γάρ ποτ' εἰς Ἕλληνας ἐξοισθήσεται ὡς εἰς ἔμ' ἐλθὼν καὶ πόλιν Πανδίονος νόμος παλαιὸς δαιμόνων διεφθάρη.***

v. 804. 'Quod dicit ***ἢ θεῶν ἱερὰ τολμῶσιν φέρειν*** cum non quadret in Polymestoris facinus, haud dubie ad aliquid refertur, quod eo tempore, quo haec fabula scripta est, indignationem commoverat Atheniensium'. Hermann.

v. 807. ***ὡς γραφεύς τ' ἀποσταθεὶς***] Illustravit haec Schaeferus duobus Luciani locis, T. I p. 702: ***ταῦτ' οὖν ξυνεπιστάμενοι αὐτοῖς μισοῦσι καὶ ἐπιβουλεύουσιν, εἴ τις ἀποστὰς ἀκριβῶς κατανενοηκὼς αὐτοὺς ἐκτραγῳδήσει καὶ πρὸς πολλοὺς ἐρεῖ.*** T. II p. 491: ***ἢν μὲν πάνυ ἐγγύθεν σκοπῶμέν τι καὶ ὑπὸ τῶν ὀφθαλμῶν αὐτῶν, οὐδὲν ἀκριβὲς διαγινώσκομεν· ἢν δὲ ἀποστάντες ἐκ τοῦ συμμέτρου διαστήματος ἴδωμεν, ἅπαντα σαφῶς καταφαίνεται τὰ εὖ καὶ τὰ μὴ οὕτως ἔχοντα.***

v. 810. ***εὔπαις ποτ' οὖσα***] Exspectabas ***ἦ***, sed participium, praedicato ***δούλη*** (***εἰμί***) subiungendum, posuit defugiens, ut opinor, similitudinem structurae illius verborum, quae est in praecedente versu; nisi versus ab interpolatore additus est.

v. 812. ***ποῖ μ' ὑπεξάγεις πόδα;***] Fraudem facit similitudo loci Sophoclei Oed. Col. 113: ***σιγήσομαί τε καὶ σύ μ' ἐξ ὁδοῦ πόδα Κρύψον***: qui quidem posset comparari, si sensus esset is, quem tribuit Euripidis verbis Porsonus: 'Quo meum pedem subducis, i. e. quo me cogis te sequi?' Quae explicatio neminem fugit quam sit contorta ac longe quaesita. ***ὑπεξάγειν πόδα*** dixisse videtur Euripides pro vulgari ***φεύγειν***, cui accusativus ex more adiungitur, ut aliis similibus. Lucian. Tox. § 36: ***ὑποχωροῦμεν ἐπιόντας.*** Demosth. adv. Androt. § 76 p. 617 R: ***εἰσφέρων δ' ἐκ τῶν ἰδίων οὐδένα πώποτε κίνδυνον ὑπὲρ δόξης ἐξέστη.*** Cf. Lobeck. ad Soph. Ai. 82 p. 231.

v. 817. Iunge ***ἐς τέλος μανθάνειν***, perfecte, consummate discere. Iph. A. 161: ***θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδείς.***

v. 818. ***ἦν*** pro ***ἢ*** emendavit

πείθειν ἃ τις βούλοιτο τυγχάνειν θ' ἅμα;
πῶς οὖν ἔτ' ἄν τις ἐλπίσαι πράξειν καλῶς;
οἱ μὲν τοσοῦτοι παῖδες οὐκέτ' εἰσί μοι,
αὐτὴ δ' ἐπ' αἰσχροῖς αἰχμάλωτος οἴχομαι·
καπνὸν δὲ πόλεως τόνδ' ὑπερθρώσκονθ' ὁρῶ.
καὶ μὴν ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν· ἀλλ' ὅμως εἰρήσεται·
πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται
ἡ φοιβάς, ἣν καλοῦσι Κασάνδραν Φρύγες.
ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις, ἄναξ,
ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
χάριν τίν' ἕξει παῖς ἐμή, κείνης δ' ἐγώ;
[ἐκ τοῦ σκότου τε τῶν τε νυκτέρων βροτοῖς
φίλτρων μεγίστη γίγνεται βροτοῖς χάρις.]
ἄκουε δή νυν· τὸν θανόντα τόνδ' ὁρᾷς;
τοῦτον καλῶς δρῶν ὄντα κηδεστὴν σέθεν
δράσεις. ἑνός μοι μῦθος ἐνδεὴς ἔτι.
εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι

Elmsleius ad Soph. Oed. Tyr. 1389. Vid. Krueg. I § 54, 8, 8. Ne quis putet nunc simpliciter indicari quale in eloquentiae studio consilium sequi deceat, animum advertat optativum *βούλοιτο*. — Addita verba *μισθοὺς διδόντες* aperte monstrant sophistas et rhetores.

v. 820. *ἐλπίσαι*] 'Hanc formam poetis Atticis non inusitatam esse docuit Schaefer. melet. cr. p. 85. Erfurdt. ad Soph. Antig. 410 ed. min. et Add.' Matthiae. *κτίσαι* Eur. Suppl. 620, *σώσαις* Iph. T. 1184, *πείσαις* Med. 325, *κυρῆσαι* 1109.

v. 821. Quia optimus liber Marcianus habet *οἱ μὲν γὰρ ὄντες*, Weilius scripsit *οἵ μεν ποτ' ὄντες*, Nauckius *οἳ μὲν γὰρ ἦσαν*.

v. 822. *ἐπ' αἰσχροῖς*] Ita ut indigna pristina fortuna patienda sint. Iph. A. 29: *οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς, Ἀγάμεμνον, Ἀτρεύς.*

v. 828. *εὐφρόνας*] Dixit per euphemismum, ut Troad. 665: *καίτοι λέγουσιν, ὡς μί' εὐφρόνη χαλᾷ Τὸ δυσμενὲς γυναικὸς εἰς ἀνδρὸς λέχος.* Quae sequuntur, *ἢ τῶν ἐν εὐνῇ* etc., eorum haec est sententia: aut quomodo aliquem gratiae fructum ac mercedem ex consuetudine tecum inita filia mea capiet et propter illam ego?

v. 831 Pro *βροτοῖς* alii libri *πάνυ* exhibent. Videlicet et *βροτοῖς* et *πάνυ* nihil nisi supplementum versus defecti, omissum a Tzetza exeg. Il. p. 86, 12. Sensui aptum est *ἀεί*, nisi mavis cum Nauckio *νυκτερησίων* scribere. Ceterum v. 831. 832 spurios esse vidit Matthiaeus.

v. 836. *εἴ*] Utinam. Soph. Oed. T. 863: *εἴ μοι ξυνείη φέροντι μοῖρα τὰν εὔσεπτον ἁγνείαν λόγων.* Eur. Suppl. 620: *ποτανὰν εἴ μέ τις θεῶν κτίσαι.* Citavit nostrum locum propter significationem illam paullo rariorem Etym. M. p. 26, 50. Cf. Blomfield. ad Aesch. Sept. 563. Vota ipsa Hecubae concepta dixerim ad similitudinem quarundam

καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει
ἢ Δαιδάλου τέχναισιν ἢ θεῶν τινος,
ὡς πάνθ' ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων
κλαίοντ', ἐπισκήπτοντα παντοίους λόγους.
ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησιν φάος,
πιθοῦ, παράσχες χεῖρα τῇ πρεσβύτιδι
τιμωρόν, εἰ καὶ μηδέν ἐστιν, ἀλλ' ὅμως.
ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.
ΧΟ. δεινόν γε, θνητοῖς ὡς ἅπαντα συμπίτνει,
καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
φίλους τιθέντες τούς γε πολεμιωτάτους,
ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.

locutionum, quae proverbiorum instar usurpantur; velut in iureiurando Amphictyonum apud Aeschinem de falsa legat. § 115: *τιμωρήσειν καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πάσῃ δυνάμει.* Cf. adv. Ctesiph. § 109. Ex eadem oratione § 157 opportune contulit Boissonadius cum v. 840. Peropportune autem in his votis meminit Daedali, de cuius admirabili in fingendis signis artificio Diodorus Siculus IV 76: *κατὰ δὲ τὴν τῶν ἀγαλμάτων κατασκευὴν τοσούτῳ τῶν ἁπάντων ἀνθρώπων διήνεγκεν, ὥστε τοὺς μεταγενεστέρους μυθολογῆσαι περὶ αὐτοῦ, διότι τὰ κατασκευαζόμενα τῶν ἀγαλμάτων ὁμοιότατα τοῖς ἐμψύχοις ὑπάρχειν· βλέπειν τε γὰρ αὐτὰ καὶ περιπατεῖν καὶ καθόλου τηρεῖν τὴν τοῦ ὅλου σώματος διάθεσιν, ὥστε δοκεῖν τὸ κατασκευασθὲν ἔμψυχον ζῶον.* Cfr. Eur. fr. 373 N. *τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ βλέπειν τ' ἀγάλμαθ'· ὧδ' ἀνὴρ κεῖνος σοφός.*

v. 839. *σῶν ἔχοιτο γουνάτων*] Bacch. 197: *ἀλλ' ἐμῆς ἔχου χερός.*

v. 846—849. Vexavit hic locus interpretes et veteres et recentiores, neque ausim affirmare magis me perspicacem fuisse. Sed videamus, quid rei agatur. Duplex est quaestio, ad quam respondendum sit: primum quid sit hoc loco *ἀνάγκη*: deinde quo pacto ea legibus subiecta atque obnoxia dicatur. Igitur *ἀνάγκη* necessitudinem sive amicitiam, quod opinabatur Musgravius, nunquam significat: qua de re, ne actum agam, vide quae circumspecte disputavit Matthiaeus. Semper illud vocabulum significat necessitatem; sed ea multis modis dicitur, ut qualis quoque loco sit aliunde intellegendum sit, et quidem ex eo, in quo sit causa necessitatis. Ac singula quaeque complecti et longum est neque huius loci; sed unum est genus necessitatis, quae nascitur ex quadam rerum ac fortunae conditione, cui tantam vim tribuas, ut superari non posse videatur. Sic, ut utar exemplo, nemo unquam credidit fore, ut acerrimum illud inveteratumque Graecorum in Persas odium obliteraretur, sed videbantur quadam *ἀνάγκῃ* illae mutuis ex iniuriis ortae irae ac contentiones inter utrumque populum vigere. Sed tamen ea inciderunt tempora, quibus de consanguinei populi exitio cum alienigenis et hostibus consentirent Lacedaemonii. Neque minus incredibile visum est communi consilio, qui debebant esse inter se inimicis-

ΑΓ. *ἐγὼ σὲ καὶ σὸν παῖδα καὶ τύχας σέθεν,*
Ἑκάβη, δι' οἶκτον χεῖρά θ' ἱκεσίαν ἔχω,
καὶ βούλομαι θεῶν θ' εἵνεκ' ἀνόσιον ξένον
καὶ τοῦ δικαίου τήνδε σοι δοῦναι δίκην,
εἴ πως φανείη γ' ὥστε σοί τ' ἔχειν καλῶς,
στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
ἔστιν γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι·
τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατός,
τὸν κατθανόντα δ' ἐχθρόν· εἰ δ' ἐμοὶ φίλος
ὅδ' ἐστί, χωρὶς τοῦτο κοὐ κοινὸν στρατῷ.
πρὸς ταῦτα φρόντιζ'· ὡς θέλοντα μέν μ' ἔχεις
σοὶ ξυμπονῆσαι καὶ ταχὺν προσαρκέσαι,
βραδὺν δ', Ἀχαιοῖς εἰ διαβληθήσομαι.

simi, Agamemnonem et Hecubam ultum ituros scelus Polymestoris, hominis sanctissimo hospitii iure cum Troianis coniuncti. Sed hac etiam *ἀνάγκῃ* maior fuit vis atque auctoritas legum (id erat enim alterum ex duobus, de quibus explicandum erat): quas qui migraverit, adversus eum fas est, tanquam adversus crudelissimam pestem generis humani, sepositis inimicitiis, coniungere opes suas, quibuscunque pietas ac iustitia curae cordique est. In eandem sententiam praeclara scripsit Frid. Schillerus nostras in Morte Wallensteinii Act I Sc. IV de fide, cuius violatoribus bellum ab universo genere humano perpetuum indictum esse, idque tanto omnium consensu capessi, ut ceterae aliquantisper discordiae conquiescant. Sed, explicata sententia, restat, ut verborum adiciamus interpretationem, quae talis est: 'mirum quam nihil non accidat hominibus, neque res eae, quae adstringere eos vi necessitatis videantur, quatenus valeant, aliunde pendet quam a legibus, quae et amicitiam cum inimicissimis iungunt et inimicos ex benevolis faciunt.' [Vix fieri posse puto, ut quis *οἱ νόμοι* ita intellegat. Sensus esse videtur hic: 'miris modis omnia mortalibus collabuntur et quae necessitate quadam constituta videntur, ea variat mos et consuetudo'. De vi verbi *διώρισαν* cfr. Soph. Oed. Tyr. 1083 *οἱ δὲ συγγενεῖς μῆνές με μικρὸν καὶ μέγαν διώρισαν*, de sententia Ai. 679 *ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος ὡς καὶ φιλήσων αὖθις ἔς τε τὸν φίλον τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι ὡς αἰὲν οὐ μενοῦντα.*]

v. 851. *δι' οἶκτον — ἔχω*] I. e. *οἰκτείρω*. Suppl. 194: *δι' οἶκτον τὰς ἐμὰς λαβεῖν τύχας*. Iph. T. 683: *ταῦτ' οὖν φοβοῦμαι καὶ δι' αἰσχύνης ἔχω*. Cf. Locella ad Xenoph. Ephes. p. 183.

v. 854. Particula *τε* non quo debebat loco posita est. Aut enim dicendum erat *εἴ πως φανείη γ' ὥστε σοί τ' ἔχειν καλῶς, ἐμέ τε στρατῷ μὴ δόξαι* etc., aut *εἴ πως φανείη θ' ὥστε σοὶ ἔχειν καλῶς, στρατῷ τε μὴ δόξαιμι* et quae sequuntur. Sed eiusmodi haud rara etiam in optimis scriptoribus neglegentia est, dum magis sententias totas et earum coniunctionem quam singulorum verborum rationem cogitant.

v. 863. *Ἀχαιοῖς εἰ διαβληθήσομαι*] ,si in Graecorum invidiam incidam'. Heracl. 421:

ΕΚ. φεῦ·
οὐκ ἔστι θνητῶν ὅστις ἔστ' ἐλεύθερος·
ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης,
ἢ πλῆθος αὐτὸν πόλεος ἢ νόμων γραφαὶ
εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
ἐπεὶ δὲ ταρβεῖς τῷ τ' ὄχλῳ πλέον νέμεις,
ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
ξύνισθι μὲν γάρ, ἤν τι βουλεύσω κακὸν
τῷ τόνδ' ἀποκτείναντι, συνδράσῃς δὲ μή.
ἢν δ' ἐξ Ἀχαιῶν θόρυβος ἢ 'πικουρία
πάσχοντος ἀνδρὸς Θρῃκὸς οἷα πείσεται
φανῇ τις, εἶργε μὴ δοκῶν ἐμὴν χάριν.
τὰ δ' ἄλλα θάρσει· πάντ' ἐγὼ θήσω καλῶς.
ΑΓ. πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
λαβοῦσα γραίᾳ φῶτα βάρβαρον κτενεῖς,
ἢ φαρμάκοισιν, ἢ 'πικουρίᾳ τίνι;
τίς σοι ξυνέσται χείρ; πόθεν κτήσει φίλους;
ΕΚ. στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον.
ΑΓ. τὰς αἰχμαλώτους εἶπας, Ἑλλήνων ἄγραν;
ΕΚ. ξὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.

συνεξεύρισχ' ὅπως Αὐτοί τε σωθήσεσθε καὶ πέδον τόδε, Κἀγὼ πολίταις μὴ διαβληθήσομαι. Sophocl. Phil. 582: μή με διαβάλῃς στρατῷ λέγονθ' ἃ μὴ δεῖ.

v. 867. μή post verbum εἴργειν abundat. Thucyd. III 6: καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μυτιληναίους. V. Herm. ad Vig. p. 810 sq. Krueg. I § 67, 12, 3.

v. 873. πάσχοντος — οἷα πείσεται] Ita loquuntur qui rei gravis aut male ominatae mentionem declinant. Helena in Orest. 78: ἐπεὶ πρὸς Ἴλιον Ἔπλευσ' ὅπως ἔπλευσα θεομανεῖ πότμῳ. Ibid. 660: ἐμοῦ πράσσοντος ὡς πράσσω τὰ νῦν. Vid. Blomfield. gl. ad Aesch. Agam. 66.

v. 874. μὴ δοκῶν] Scil. εἴργειν, dissimulans mea gratia te eos arcere. Med. 67: ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν. Iph. T. 956: ἤλγουν δὲ σιγῇ κἀδόκουν οὐκ εἰδέναι.

v. 875. πάντ' ἐγὼ θήσω καλῶς] Recte omnia instituam ac perficiam, ut nihil inde incommodi tibi nascatur. Discernenda ab hac formula, cuius apud Euripidem alia exstant exempla in Or. 1664. Hipp. 521. El. 648. Iph. A. 401, illa, quam ad Med. 896 illustravit Elmsleius, quocum coniungas Wyttenb. ad Plut. T. I p. 406 et Blomf. ad Aesch. Pers. 234 gloss. ad. Agam. 31, εὖ vel καλῶς τίθεσθαί τι, in qua propriam medii significationem ubique agnoscas licet, ut dicatur de iis, quae quis ad rem suam pertinentia bene administret ac componat.

v. 876. Hipp. 598: πῶς οὖν; τί δράσεις, ὦ παθοῦσ' ἀμήχανα; Med. 1376: πῶς οὖν; τί δράσω.

v. 882. φονέα hoc loco, itemque El. v. 599. 763 ultimam syl-

ΑΓ. καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;
ΕΚ. δεινὸν τὸ πλῆθος, ξὺν δόλῳ τε δύσμαχον.
ΑΓ. δεινόν· τὸ μέντοι θῆλυ μέμφομαι γένος.
ΕΚ. τί δ'; οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα,
καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
ἀλλ' ὣς γενέσθω· τόνδε μὲν μέθες λόγον·
πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
γυναῖκα. καὶ σὺ Θρῃκὶ πλαθεῖσα ξένῳ
λέξον· 'καλεῖ σ' ἄνασσα δήποτ' Ἰλίου
Ἑκάβη, σὸν οὐκ ἔλασσον ἢ κείνης χρέος,
καὶ παῖδας· ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
τοὺς ἐξ ἐκείνης'. τὸν δὲ τῆς νεοσφαγοῦς
Πολυξένης ἐπίσχες, Ἀγάμεμνον, τάφον,
ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογί,
δισσὴ μέριμνα μητρί, κρυφθῆτον χθονί.
ΑΓ. ἔσται τάδ' οὕτω· καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν·
νῦν δ', οὐ γὰρ ἵησ' οὐρίους πνοὰς θεός,
μένειν ἀνάγκη πλοῦν ὁρῶντας ἥσυχον.

labam brevem habet. Qua de re quos laudat Krueg. I § 18, 5, 4, iis adde Meinekium ad Philem. fragm. p. 387.

v. 885. *μέμφομαι· καταγινώσκω καὶ φαῦλον ἡγοῦμαι· ἀσθενὲς γὰρ καὶ μαλακόν.* schol. Gu.

v. 887. *ἄρδην*] funditus. Phoen. 1620: *τί μ' ἄρδην ὧδ' ἀποκτείνεις, Κρέον;* Conf. Ion. 1724. Plato de rep. IV p. 421 A: *φύλακες δὲ νόμων τε καὶ πόλεως μὴ ὄντες ἀλλὰ δοκοῦντες ὁρᾷς δὴ ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύασι.* Adde Isocrat. or. de permut. § 160 et al.

v. 892. *χρέος* eodem modo dicitur, ut alibi *χάριν*. Cf. supra v. 874. Sophocl. Trach. 485: *κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν.* Vid. Hermann. ad Vig. p. 701.

v. 901. *πλοῦν ὁρῶντας*] navigandi opportunitatem speculantes, secundos facilesque ventos exspectantes. Plato de Legg. IX p. 866 C: *ἐὰν δὲ ἄκων ἔλθῃ, ἢν μὲν κατὰ θάλατταν ἐκπίπτῃ πρὸς τὴν χώραν, σκηνησάμενος ἐν θαλάττῃ τέγγων τοὺς πόδας πλοῦν ἐπιφυλαττέτω.* Elmsleio ad Heracl. 7 sic distinguendum videtur: *μένειν ἀνάγκη, πλοῦν ὁρῶντας, ἥσυχον.* Sane illud rectissime vidit *ἥσυχον* non esse cum *πλοῦν*, sed cum verbo *μένειν* coniungendum, cum non tempestate premantur Graeci. Sed hoc loco adverbialiter accipiendum est, nisi *ἥσυχον* ex interpretatione parum apta vocis *εὔσταλῆ* (cfr. Hesych. *εὐσταλεῖ· ἀτρεμεῖ*, Soph. Phil. 780 *γένοιτο δὲ πλοῦς οὔριός τε κεὔσταλής*) repeti aut de Hartungi sententia *ἡσύχους* scribi debet; neque enim praecedenti plurali *ὁρῶντας* statim subicere licuit adiectivi singularem ad idem nomen referendum, praesertim cum plurali *ὁρῶντας* non nomen *αὐτοὺς* ex *στρατῷ* adsumendum, sed *ἡμᾶς* obversetur.


γένοιτο δ᾽ εὖ πως· πᾶσι γὰρ κοινὸν τόδε,
ἰδίᾳ θ᾽ ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν
κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν.

(*στρ. α΄.*)


ΧΟ. *σὺ μέν, ὦ πατρὶς Ἰλιάς,*
τῶν ἀπορθήτων πόλις οὐκέτι λέξει·
τοῖον Ἑλλάνων νέφος ἀμφί σε κρύπτει

v. 905 sqq. Tamesti multa erant, quae excisae patriae Troianas mulieres admonerent neque refrigescere luctum ac desiderium paterentur: tamen nullum maius praesentis fortunae documentum reperiebatur, quam quod ipsi reginae longe gravissimam malorum partem exhauriendam videbant. Sed cum sua sponte maerorem captivis tristitiamque iniceret miserrima urbis clades, tum illa mirum in modum excruciabat augebatque animi dolorem cogitatio, quotiescunque quanta ex laetitia securis ac vino epulisque dissolutis illa supervenisset calamitas reminiscerentur. Idque, ut erat ad commovendos miseratione animos vel maxime idoneus, praeclare intellexit Euripides, neque magis caedem terroremque et incendia exsultantium in capta urbe hostium quam iucundam amoto belli metu civium quietem descripsit. Quarum rerum memoria facit, ut acriore in tot malorum auctores odio chorus incitetur, et, qui tanta spe salutis eum deiecerant, Paridem et Helenam diris devoveat. — Sed, ut ad metrum huius carminis veniamus, id logaoedicum est intermixtis dactylo-epitritis.


στρ. α΄.



στρ. β΄.



ἐπῳδ.



v. 904. Agamemno abit, Hecuba in scena manet exspectans Polymestorem quem per famulam arcessivit.

v. 906. *λέξει*] Passive, ut apud Soph. Oed. Col. 1186: *ἅ μή σοι συμφέροντα λέξεται.* Eur. Alc. 322: *ἀλλ᾽ αὐτίκ᾽ ἐν τοῖς μηκέτ᾽ οὖσι λέξομαι,* et semper apud tragicos, monente Porsono ad Hecub. 279.

v. 907. *τοῖον Ἑλλάνων νέφος*]

δορὶ δὴ δορὶ πέρσαν.
ἀπὸ δὲ στεφάναν κέκαρσαι
πύργων, κατὰ δ᾽ αἰθάλου
κηλῖδ᾽ οἰκτροτάταν κέχρωσαι,
τάλαιν᾽, οὐκέτι σ᾽ ἐμβατεύσω.

(*ἀντιστρ. α᾽.*)

μεσονύκτιος ὠλλύμαν,
ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς ἐπ᾽ ὄσσοις
κίδναται, μολπᾶν δ᾽ ἄπο καὶ χοροποιὸν
θυσίαν καταπαύσας
πόσις ἐν θαλάμοις ἔκειτο,
ξυστὸν δ᾽ ἐπὶ πασσάλῳ,
ναύταν οὐκέθ᾽ ὁρῶν ὅμιλον
Τροίαν Ἰλιάδ᾽ ἐμβεβῶτα.

De sententiarum copulandarum ratione monitum est ad Med. v. 718. Andr. 1073: *οὐκ ἔστι σοι παῖς παιδός, ὡς μάθῃς, γέρον Πηλεῦ· τοιάσδε φασγάνων πληγὰς ἔχει.* *Νέφος* de multitudine posuit Homer. Il. *δ* 274: *ἅμα δὲ νέφος εἵπετο πεζῶν*, cf. *π* 66. Eur. Phoen. 251. Iacobs. ad. Anth. Gr. I 1, p. 233. Cum *νέφος ἀμφί σε κρύπτει* (*ἀμφικρύπτει σε*) cfr. Hom. Il. *ρ* 243 *πολέμοιο νέφος περὶ πάντα καλύπτει Ἕκτωρ.*

v. 910. De constructione *ἀποκέκαρσαι στεφάναν πύργων* cfr. Krueg. I § 52, 4, 2 et 3. — *κηλῖδα οἰκτρόταταν αἰθάλου* obiectum est quod dicunt interius verbi *κατακέχρωσαι.*

v. 913. *οὐκέτι σ᾽ ἐμβατεύσω*] El. 595. 1250: *ἐμβατεῦσαι πόλιν.* Genitivo iunxit Sophocles Oed. T. 825: *μή μ᾽ ἐμβατεύειν πατρίδος*, ubi vid. Brunck.

v. 914. *μεσονύκτιος*] Idem tempus designavit parvae Iliadis scriptor apud Schol.: *νὺξ μὲν ἔην μέσση, λαμπρὰ δ᾽ ἐπέτελλε σελήνη*, unde collegerunt captam urbem *ὀγδόῃ φθίνοντος*: mense autem Thargelione eam rem evenisse praeter Callisthenem, quem laudat Schol., memoriae prodiderunt Ephorus, Damastes et Phylarchus, teste Plutarcho V. Camill. c. 19. cf. Dionys. Hal. A. R. I 63, ibiq. Casaub. Vergilius Aen. II 268: *tempus erat quo prima quies mortalibus aegris Incipit et dono divom gratissima serpit.*

v. 915. *ἐκ δείπνων*] peractis conviviis. Sic *ἀπὸ δείπνου* in epistt. Lyncei ap. Athen. III p. 75 E, cf. Herodot. I 126. II 78. VI 129 et adde annotationem nostram ad v. 55.

v. 917. Nisi pro *μολπᾶν δ᾽ ἄπο* scribendum est *μολπᾶν δ᾽ ὄπα* (cfr. Tro. 1071), debet *ἀπὸ μολπᾶν* eadem ratione qua quod praecedit *ἐκ δείπνων* intellegi, ut significet fere i. q. *μολπὰς καταπαύσας.*

v. 920. *ξυστὸν δ᾽ ἐπὶ πασσάλῳ* scil. *ἔκειτο.* Accipienda haec *διὰ μέσου.* V. ad v. 605. Mox miror Valckenarium ad Phoen. 321 maluisse *ναυτᾶν*: hoc enim prosae orationis, *ναύταν ὅμιλον* poetarum est. Aesch. Prom. 425: *Σκύθης ὅμιλος.* Eur. Herc. 408: *τὸν ἱππευτὰν Ἀμαζόνων στρατόν.* Iph. A. 1059: *θίασος ἱπποβότας Κενταύρων.*

(στρ. β΄.)

ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
μίτραισιν ἐρρυθμιζόμαν
χρυσέων ἐνόπτρων
λεύσσουσ᾽ ἀτέρμονας εἰς αὐγάς,
ἐπιδέμνιος ὡς πέσοιμ᾽ ἐς εὐνάν.
ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν·
κέλευμα δ᾽ ἦν κατ᾽ ἄστυ Τροίας τόδ᾽· ὦ
παῖδες Ἑλλάνων, πότε δὴ πότε τὰν
Ἰλιάδα σκοπιὰν
πέρσαντες ἥξετ᾽ οἴκους;

(ἀντιστρ. β΄.)

λέχη δὲ φίλια μονόπεπλος
λιποῦσα, Δωρὶς ὡς κόρα,
σεμνὰν προσίζουσ᾽
οὐκ ἤνυσ᾽ Ἄρτεμιν ἁ τλάμων·
ἄγομαι δὲ θανόντ᾽ ἰδοῦσ᾽ ἀκοίταν
τὸν ἐμὸν ἅλιον ἐπὶ πέλαγος,
πόλιν τ᾽ ἀποσκοποῦσ᾽, ἐπεὶ νόστιμον
ναῦς ἐκίνησεν πόδα καὶ μ᾽ ἀπὸ γᾶς

v. 926. *ἀτέρμονας* consensu Schol. et Eustath. ad Il. η p. 690, 41 explicant *κυκλοτερεῖς*. Hermannus hanc interpretationem ineptam putat et splendorem intellegendum arbitratur, quem specula ex metallo facta noctu lumine admoto oculos radiis percellentem fundant. *Χρύσεα ἔνοπτρα* commemorat Euripides etiam Troad. 1107.

v. 927. *ἐπιδέμνιος — ἐς εὐνάν* posita sunt *ἐκ παραλλήλου*, cuius generis permulta in tragico sermone observantur. Ion 1441: *ὃν κατὰ γᾶς ἐνέρων χθόνιον μετὰ Περσεφόνας τ᾽ ἐδόκουν ναίειν*. Bacch. 1111 *χαμαιπετὴς πίπτει πρὸς οὖδας*. Cf. Lobeck. ad Phryn. p. 754. Schwenck. ad Aesch. Sept. c. Theb. p. 199. Ceterum *ἐπιδέμνιος* ad torum, *ἐς εὐνάν* ad vestem stragulam pertinet. Cfr. Hom. Od. ψ 189 *ἐκθεῖσαι πύκινον λέχος* (i. e. *δέμνιον*) *ἐμβάλετ᾽ εὐνήν*, 290 *εὐνὴν ἐσθῆτος μαλακῆς*.

v. 931. *τὰν Ἰλιάδα σκοπιάν* dixit Troiam, credo, quod esset apud Homerum *Ἴλιος ἠνεμόεσσα*.

v. 933. De vestitu virginum Doriensium, tenuiore illo et ad priscae aetatis simplicitatem composito, pleraque complexus est Od. Müllerus Dor. T. II p. 263 sqq. Euripidis huc pertinet locus ex Androm. v. 597 sqq. — *Προσίζουσ᾽ — Ἄρτεμιν*: Aesch. Suppl. 189 *πάγον προσίζειν*, Eur. Helen. 1492 *Εὐρώταν ἐφεζόμεναι*. Vid. Lobeck. ad Soph. Aiac. p. 249.

v. 940. *ναῦς ἐκίνησεν πόδα*] Hoc per metaphoram dictum nec cogitandum esse de illis funibus qui proprie *πόδες* navis dicebantur, qui ab angulis veli exeuntes in navi puppim versus alligabantur (cfr. Seidler. ad Iph. T. 1104), documento est v. 1020, ubi dicitur *νεῶν λῦσαι οἴκαδε*

ὤρισεν Ἰλιάδος·
τάλαιν', ἀπεῖπον ἄλγει.

(ἐπῳδός.)

τὰν τοῖν Διοσκόροιν Ἑλέναν κάσιν Ἰδαῖόν τε βούταν
αἰνόπαριν κατάρᾳ διδοῦσ', ἐπεί με γᾶς
ἐκ πατρίας ἀπώλεσεν
ἐξῴκισέν τ' οἴκων γάμος οὐ γάμος, ἀλλ' ἀλάστο-
ρός τις οἰζύς·
ἃν μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν,
μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον.

ΠΟΛΥΜΗΣΤΩΡ.

ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σύ,
Ἑκάβη, δακρύω σ' εἰσορῶν πόλιν τε σὴν
τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
φεῦ·
οὐκ ἔστιν οὐδὲν πιστὸν οὔτ' εὐδοξία,
οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.
φύρουσι δ' αὐτὰ θεοὶ πάλιν τε καὶ πρόσω
ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ
θρηνεῖν προκόπτοντ' οὐδὲν ἐς πρόσθεν κακῶν;
σὺ δ' εἴ τι μέμφει τῆς ἐμῆς ἀπουσίας,
σχές· τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις

πόδα. Meminerimus, etiam Χρόνου πόδα nosse Euripidem (cfr. Bacch. 889 et schol. ad Aristoph. Ran. 100).

v. 945. Participium διδοῦσα ad ἄγομαι, non ad ἀπεῖπον referendum.

v. 946. ἐκ πατρίας γᾶς ἀπώλεσεν] Cfr. Iph. T. 541 ἐκεῖθέν εἰμι· παῖς ἔτ' οὖσ' ἀπωλόμην, Androm. 708 εἰ μὴ φθερεῖ τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης. Itaque non esse videtur quod ἀπήλασεν corrigamus.

v. 948. γάμος οὐ γάμος] quem dicere poterat γάμον ἄγαμον. Vid. ad v. 612. Androm. 103: Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον, ἀλλά τιν' ἄταν Ἠγάγετ' εὐναίαν εἰς θαλάμους Ἑλέναν. Helen. 1134: γέρας οὐ γέρας. De nuptiis Helenae funestis cfr. Aesch. Ag. 699 sqq., 744 sqq.

v. 958. φύρουσι] miscent ac perturbant. Plutarch. de Is. et Osir. p. 378 D: φύρειν τὰς περὶ θεῶν δόξας καὶ συνταράττειν ὑποψίαις ἀτόποις. Philo de lege Spec. p. 809 D: πάντα φύρων καὶ συγχέων, quem locum cum aliis similibus laudat Iacobsius Lect. Stob. p. 88. not.

v. 961. προκόπτοντ'] nihil promoventem et tanquam ad finem malorum progredientem. Alc. 1079: τί δ' ἂν προκόπτοις, εἰ θέλεις ἀεὶ στένειν. Hipp. 23: τὰ πολλὰ δὲ Πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ. — ἐς πρόσθεν attigit de praepositionum cum adverbiis copulatione agens Lobeck. ad Phryn. p. 48.

ἀπών, ὅτ' ἦλθες δεῦρ'· ἐπεὶ δ' ἀφικόμην,
ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι
ἐς ταὐτὸν ἥδε συμπίτνει δμωὶς σέθεν
λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.
ΕΚ. αἰσχύνομαί σε προσβλέπειν ἐναντίον,
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει,
ἐν τῷδε πότμῳ τυγχάνουσ', ἵν' εἰμὶ νῦν,
κοὐκ ἂν δυναίμην προσβλέπειν ὀρθαῖς κόραις.
ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν,
Πολυμῆστορ· ἄλλως δ' αἴτιόν τι καὶ νόμος
γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.
ΠΟΛ. καὶ θαῦμά γ' οὐδέν. ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
ΕΚ. ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι
καὶ παῖδας εἰπεῖν σούς· ὀπάονας δέ μοι

v. 970 sq. Participium *τυγχάνουσα*, si quid constructio verborum postulaverit quaerimus, non recte coniungi potest cum illis *αἰδώς μ' ἔχει:* requirebatur enim *τυγχάνουσαν.* Sed quod ipsum per se vitiosum videatur necesse est, culpa vacat propter vim consuetudinis. Etenim latissime patet in Graeca syntaxi illa ratio, ut similis significationis locutiones inter se permisceantur, neque magis ad id, quod grammatica ratio postulabat, quam quod mente complectuntur, structuram verborum scriptores accommodent. Sic hoc loco nominativum posuit Euripides, plane illum convenientem non cum eo, quod expressit, *αἰδώς μ' ἔχει*, sed cum illo, quod cogitavit, *αἰδοῦμαι.* Eiusdem generis est locus Hippolyti, quem ad v. 961 adscripsi; et Cycl. 330: *Δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν Καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει*, quod est idem ac si dixisset *οὐδὲν φροντίζω.* Lucianus Demosth. encom. § 1: *ἀωρὶ γάρ τοι τῶν νυκτῶν ἐξαναστὰς ἔδοξέ μοι χρῆναι τοῖς Ὁμήρου γενεθλίοις τῆς ποιητικῆς ἀπάρξασθαι.* Plura vid. apud Krueg. I § 56, 9, 4.

v. 972. *ὀρθαῖς κόραις*] rectis neque perturbatis pudore oculis. Iphig. A. 851: *χαῖρ'· οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ' ἔτ' εἰσορῶ, Ψευδὴς γενομένη καὶ παθοῦσ' ἀνάξια.* Similia multa ad Horat. Carm. I 3, 18 affudit eruditio Bentleii, aliaque ad h. l. notavit Porsonus.

v. 976. *καὶ θαῦμά γ' οὐδέν*] Vim particularum *καὶ — γε* senties mecum interpretando: Sunt haec, ut dicis, neque vero ego miror. Soph. Oed. T. 1132: *κοὐδέν γε θαῦμα.* Cf. v. 933. 1275. Helen. 106. Ion 340. 1293. Cycl. 178. Aristoph. Ran. 49. Stallbaum. ad Plat. Phileb. p. 188. Blomfield. ad Aesch. Pers. 266. *τίς χρεία σ' ἐμοῦ;*] Exemplo Homeri dixit Il. *λ* 606: *τί δέ σε χρεὼ ἐμεῖο;* et alibi. Vide doctam annotationem Porsoni ad Or. 659.

v. 977. *τί χρῆμα;* quare? Heracl. 633: *τί χρῆμα κεῖσαι καὶ κατηφὲς ὄμμ' ἔχεις;* cf. Herc. 1179.

χωρὶς κέλευσον τῶνδ' ἀποστῆναι δόμων.
ΠΟΛ. χωρεῖτ'· ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
φίλη μὲν εἶ σύ, προσφιλὲς δέ μοι τόδε
στράτευμ' Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρῆν,
τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
φίλοις ἐπαρκεῖν· ὡς ἕτοιμός εἰμ' ἐγώ.
ΕΚ. πρῶτον μὲν εἰπὲ παῖδ' ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον ἔκ τε πατρὸς ἐν δόμοις ἔχεις,
εἰ ζῇ· τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
ΠΟΛ. μάλιστα· τοὐκείνου μὲν εὐτυχεῖς μέρος.
ΕΚ. ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.
ΠΟΛ. τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
ΕΚ. εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί μου.
ΠΟΛ. καὶ δεῦρό γ' ὡς σὲ κρύφιος ἐζήτει μολεῖν.
ΕΚ. χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
ΠΟΛ. σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.
ΕΚ. σῶσόν νυν αὐτόν, μηδ' ἔρα τῶν πλησίον.
ΠΟΛ. ἥκιστ'· ὀναίμην τοῦ παρόντος, ὦ γύναι.
ΕΚ. οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶν θέλω;
ΠΟΛ. οὐκ οἶδα· τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
ΕΚ. ἔστ', ὦ φιληθεὶς ὡς σὺ νῦν ἐμοὶ φιλεῖ,
ΠΟΛ. τί χρῆμ', ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
ΕΚ. χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
ΠΟΛ. ταῦτ' ἔσθ' ἃ βούλει παιδὶ σημῆναι σέθεν;
ΕΚ. μάλιστα, διὰ σοῦ γ'· εἶ γὰρ εὐσεβὴς ἀνήρ.
ΠΟΛ. τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
ΕΚ. ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
ΠΟΛ. καλῶς ἔλεξας τῇδε καὶ σοφώτερον.

v. 981. *ἐν ἀσφαλεῖ ἥδ' ἐρημία*] i. e. nihil hic habet solitudo mea absentibus famulis periculi.

v. 983. *σημαίνειν σε χρῆν, τί οὐ πάλαι ἐσήμηνας*; dicit Polymestor studii simulandi gratia.

v. 989. *τοὐκείνου μέρος*] quantum ad illum attinet. Rhes. 405: *Ἕλλησιν ἡμᾶς προὔπιες τὸ σὸν μέρος*. cf. Plat. Criton. p. 45 D et alibi.

v. 991. *μαθεῖν ἐμοῦ*] Vid. Krueg. II § 47, 10, 10.

v. 998. *ἃ λέξαι*] Non videbatur congruere *τοῦτο* versu seq., ubi Brunckius scripsit *ταῦτα*. Illud qui intactum reliquit Porsonus, tamen re consentiens cum Brunckio, hoc versu correxit *ὅ*. His non opus esse ostendit Matthiaeus. Vid. Krueg. I § 44, 4, 3.

v. 1000. De schemate quod dicunt Pindarico *ἔστι . . κατώρυχες* cfr. Jon. 1146 et vid. Krueg. I § 63, 4, 4. *ὦ φιληθεὶς ὡς . . φιλεῖ* ambigue dicit Hecuba ut v. 990.

ΕΚ. οἶσθ' οὖν Ἀθάνας Ἰλίας ἵνα στέγαι;
ΠΟΛ. ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
ΕΚ. μέλαινα πέτρα γῆς ὑπερτέλλουσ' ἄνω.
ΠΟΛ. ἔτ' οὖν τι βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
ΕΚ. σῶσαί σε χρήμαθ' οἷς συνεξῆλθον θέλω.
ΠΟΛ. ποῦ δῆτα, πέπλων ἐντὸς ἢ κρύψασ' ἔχεις;
ΕΚ. σκύλων ἐν ὄχλῳ ταῖσδε σῴζεται στέγαις.
ΠΟΛ. ποῦ δ'; αἵδ' Ἀχαιῶν ναύλοχοι περιπτυχαί.
ΕΚ. ἴδιαι γυναικῶν αἰχμαλωτίδων στέγαι.
ΠΟΛ. τἄνδον δὲ πιστά, κἀρσένων ἐρημία;
ΕΚ. οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ Ἀργεῖοι νεῶν
λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα·
ὡς πάντα πράξας ὧν σε δεῖ στείχῃς πάλιν
ξὺν παισὶν οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.
ΧΟ. οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην·
ἀλίμενόν τις ὡς ἐς ἄντλον πεσὼν
λέχριος, ἐκπεσεῖ φίλας καρδίας,
ἀμέρσας βίον. τὸ γὰρ ὑπέγγυον

v. 1010. *τὴν τύφλωσιν αὐτοῦ λέγει* (dicendum potius *αἰνίττεται*) schol. Gu.

v. 1013. De collocatione particulae *ἢ* (*ἢ πέπλων ἐντὸς κρύψασ' ἔχεις;*) cfr. El. 967 *τί δῆτα δρῶμεν; μητέρ' ἢ φονεύσομεν;* Soph. Ant. 1281.

v. 1021 seq. Egregie Euripides utitur illa ambiguitate verborum, quae, dum securum reddit eum, cui laquei intenduntur, spectatores futurorum gnaros metu ac miseratione percellit. Etenim tametsi qui perfidiam hominis atque avaritiam hoc ipso colloquio perspexerit vindictam Polymestoris cupiat, tamen improvidum neque ulla praesidii ac salutis spe ruere in perniciem, nescio quo pacto miserum videtur et crudele, magnamque irae partem detrahit. — De constructione *δεῖ μέ τινος* cfr. Krueg. II § 47, 16, 2.

v. 1024 sqq. Versus sunt vel iambici vel dochmiaci. Constructio verborum haec est: *ἐκπεσεῖ φίλας καρδίας ἀμέρσας βίον, ὥς τις λέχριος πεσὼν εἰς ἀλίμενον ἄντλον*, quae per epexegesin addita sunt ad *δίκην δώσεις*. Verba *ἐκπεσεῖ φίλας καρδίας* rectius eis, quibus idem fere quod verba *ἀμέρσας βίον* significare videntur, interpretatur Weilius: *ἀποσφαλεῖ φρενῶν, ἐλπίδων*. Vim vocabuli *λέχριος* facilius assequare comparato loco Vergilii Aen. I 104, ubi de Troianorum classe procellis iactata: *Franguntur remi; tum prora avertit et undis Dat latus; insequitur cumulo praeruptus aquae mons.* Pertinet autem comparatio ad subitam et ineluctabilem mortem.

v. 1029. *τὸ γὰρ ὑπέγγυον — κακόν*] Haec ex Hemsterhusii sententia interpretatur Hermannus: 'diis et iustitiae obnoxia in quem expetunt, pestiferum, pestiferum malum et' i. e. qui se adversus deos et iustitiam impiavit, magno id suo cum malo luit. Rectius interpreteris *ξυμπίτνει* ex scho-

δίκᾳ καὶ θεοῖσιν οὐ ξυμπίτνει,
ὀλέθριον ὀλέθριον κακόν.
ψεύσει σ' ὁδοῦ τῆσδ' ἐλπίς, ἥ σ' ἐπήγαγε
θανάσιμον πρὸς ᾅδαν, ἰὼ τάλας·
ἀπολέμῳ δὲ χειρὶ λείψεις βίον.
ΠΟΛ. ὤμοι, τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
ΧΟ. ἠκούσατ' ἀνδρὸς Θρῃκὸς οἰμωγήν, φίλαι;
ΠΟΛ. ὤμοι μάλ' αὖθις, τέκνα, δυστήνου σφαγῆς.
ΧΟ. φίλαι, πέπρακται καίν' ἔσω δόμων κακά.
ΠΟΛ. ἀλλ' οὔτι μὴ φύγητε λαιψηρῷ ποδί·
βάλλων γὰρ οἴκων τῶνδ' ἀναρρήξω μυχούς.
ἰδού, βαρείας χειρὸς ὁρμᾶται βέλος.
ΧΟ. βούλεσθ' ἐπεσπέσωμεν; ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι Τρῳάσιν τε συμμάχους.
ΕΚ. ἄρασσε, φείδου μηδέν, ἐκβάλλων πύλας·
οὐ γάρ ποτ' ὄμμα λαμπρὸν ἐνθήσεις κόραις,
οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν' ἐγώ.
ΧΟ. ἦ γὰρ καθεῖλες Θρῇκα καὶ κρατεῖς ξένου,

liis *ἀφανίζεται*, *ἀπόλλυται* et intellegas: 'ubi ea quorum vindices sunt dii atque iustitia, pereunt, pestiferum malum est'.

v. 1033. Cum *θανάσιμον* neque ad *σὲ* neque ad *ᾅδαν* apte referatur, vitium subesse videtur. Fortasse pro *ᾅδαν* scribendum est *ἄταν*. Cum *θανάσιμον ἄταν* cfr. *θανάσιμον μόρον* v. 1145. Prior syllaba interiectionis *ἰώ* ut saepius producitur.

v. 1034. *ἀπολέμῳ· ἀνάνδρῳ, γυναικείᾳ* schol.

v. 1035. Foedum caedis adspectum subducit poeta oculis spectatorum. Geritur res in tentorio, unde primum lamentabiles voces Polymestoris, oculos suos occaecatos et necem liberorum querentis, mox (v. 1039 sq.) erumpere cupientis impetum iactumque exaudiunt. Sed antevertit Hecuba, quae postquam breviter choro quid actum sit exposuit, ipse procedit Polymestor, misere foedatus, nunc deplorans cladem crudelissimam, nunc in iram et ulciscendi cupiditatem exardescens et auxilium suorum Graecorumque et Atridarum exposcens.

v. 1036 et 1038 duces hemichorii alternare videntur.

v. 1039. *οὔτι μὴ φύγητε*] 'non effugietis'. Cfr. Krueg. I § 53, 7, 6.

v. 1042. *βούλεσθ' ἐπεσπέσωμεν*] Vid. Krueg. I § 54, 2, 3. *ἀκμή* idem fere, quod alibi *καιρός*, tempus tale, ubi, ut cum vetere poeta loquar, *οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς*. Herc. 532: *εἰς ἀκμὴν ἐλθὼν φίλοις*, quae compares cum Hecub. v. 666. Sophocl. El. 1337: *εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν κακὸν Ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή*. V. Bergler. ad Aristoph. Plut. 255. Cf. Ruhnk. in Auctar. Emendatt. ad Hesych. p. 194.

v. 1047. Non excussissent, opinor, interpretes eruditionis suae thesauros, si, quo loco nunc legitur *ξένου*, scriptum fuisset aut per metrum scribi licuisset *τοῦ ἀνδρός*: quod vocabulum haud raro, ut apud Latinos vir, vice fungitur pronominis. Nunc cum

δέσποινα, καὶ δέδρακας οἷάπερ λέγεις;
ΕΚ. ὄψει νιν αὐτίκ' ὄντα δωμάτων πάρος
τυφλόν, τυφλῷ στείχοντα παραφόρῳ ποδί,
παίδων τε δισσῶν σώμαθ', οὓς ἔκτειν' ἐγὼ
ξὺν ταῖς ἀρίσταις Τρῳάσιν· δίκην δέ μοι
δέδωκε· χωρεῖ δ', ὡς ὁρᾷς, ὅδ' ἐκ δόμων.
ἀλλ' ἐκποδὼν ἄπειμι κἀποστήσομαι
θυμῷ ζέοντι Θρῃκὶ δυσμαχωτάτῳ.
ΠΟΛ. ὤμοι ἐγώ, πᾷ βῶ,
πᾷ στῶ, πᾷ κέλσω;
τετράποδος βάσιν θηρὸς ὀρεστέρου
τιθέμενος ἐπὶ χεῖρα κατ' ἴχνος; ποίαν,
ἢ ταύταν ἢ τάνδ'
ἐξαλλάξω τὰς
ἀνδροφόνους μάρψαι
χρῄζων Ἰλιάδας, αἵ με διώλεσαν;
τάλαιναι κόραι τάλαιναι Φρυγῶν,

Polymestor vv. 774. 890 dicatur *Θρῂξ ξένος*, falso sibi persuaserunt easdem voces hoc quoque loco coniungendas fuisse, diremtas autem exquisita quadem ratione loquendi. Quidni enim dicere potuerit Euripides: *ἦ γὰρ καθεῖλες Θρῇκα καὶ κρατεῖς αὐτοῦ*; Pronomen languidum, in fine praesertim sententiae, cum significantiore commutavit vocabulo *ξένον*. Elegans tamen est quod olim coniecit Hermannus *ξένον*. Cfr. ad v. 605, Iph. T. 1309 *ἔψευδον αἵδε καί μ' ἀπήλαυνον δόμων, ὡς ἐκτὸς εἴης*, Soph. Ant. 298, Hom. Od. β 370.

v. 1050. *τυφλῷ ποδί*] Qui non regitur lumine oculorum: cf. Phoen. 838. 1536. 1616. Porson. ad Phoen. 1722. *παράφορος*, qui incerto ac vago gressu titubat, vid. Ast. ad Plat. Legg. VI 18 p. 320. Baehr. in Creuzeri Melet. III. p. 5 sq.

v. 1055. *θυμῷ ζέοντι Θρ.*] Thraci ira fervido. Paullo aliter Soph. Oed. C. 434: *ὁπηνίκ' ἔζει θυμός*. cf. Jacobs. ad Anthol. Gr. Vol. II P. II p. 203.

v. 1056—1084. In hoc carmine excipiunt inter se dochmii et anapaesti, motus animi, motus corporis in vicem exprimentes.

v. 1057. *κέλσαι* proprie de navibus, quae portum ingressae aut ad terram appulsae ex salo consistunt: quod quam apte ad Polymestorem translatum sit, nemo non videt; cf. v. 1080. Similem huius verbi potestatem animadvertere licet etiam in El. 139: *Ἄργει κέλσας πόδ' ἀλάταν*. Hipp. 140: *θανάτου κέλσαι ποτὶ τέρμα δύστανον*.

v. 1058. Ne quis vera putet quae scholiasta habet: *ὑπόκειται ὁ Πολυμήστωρ τετραποδίζων*. Nam nihil nisi titubantem ingressum caeci hominis iter praetemptantis et ad manum vestigium ex vestigio (*ἐπὶ χεῖρα κατ' ἴχνος*) facientis describit, cui ad incedendum non minus manibus quam pedibus opus est.

v. 1063. Transpositionem horum verborum idoneis exemplis confirmavit Seidlerus p. 278 sq., in quibus reperias haec ex Med. 1273: *ἀκούεις βοὰν ἀκούεις τέκνων*; 1282: *μίαν δὴ κλύω μίαν τῶν πάρος*.

ὦ κατάρατοι,
ποῖ καί με φυγᾷ πτώσσουσι μυχῶν;
εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
ἀκέσσαιο τυφλὸν ἀκέσσαι', Ἅλιε,
φέγγος ἀπαλλάξας.
ἆ ἆ.
σίγα· κρυπτὰν βάσιν αἰσθάνομαι
τάνδε γυναικῶν, πᾷ πόδ' ἐπάξας
σαρκῶν ὀστέων τ' ἐμπλησθῶ,
θοίναν ἀγρίων τιθέμενος θηρῶν,
ἀρνύμενος λώβαν,
λύμας ἀντίποιν' ἐμᾶς; ὦ τάλας.
ποῖ, πᾷ φέρομαι τέκν' ἔρημα λιπὼν
βάκχαις Ἅιδου διαμοιρᾶσαι,
σφακτὰ κυσίν τε φοινίαν δαῖτ' ἀνή-
μερόν τ' οὐρείαν ἐκβολάν;
πᾷ στῶ, πᾷ κάμψω, [πᾷ βῶ,]
ναῦς ὅπως ποντίοις πείσμασι, λινόκροκον

v. 1065. *ποῖ μυχῶν*] Vid. Krueg. I § 47, 10, 4.

v. 1066 sqq. Haud inepte, ut caecitati suae medeatur, Solem invocat Polymestor, utpote luminis auctorem.

v. 1068. *τυφλὸν φέγγος* similiter dicitur ac *σκότον βλέπειν, ἐν σκότῳ ὀψοίατο* Soph. O. Tyr. 419. 1273, ut non opus sit de Reiskii coniectura *νέφος ἀπαλλάξας* vel cum Weilio *φέγγος ἐπαλλάξας* scribere.

v. 1071. *ἐπάξας*] active Sophocl. Ai. 40: *καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;* [Cfr. Or. 1429. Rectius tamen videtur ex ratione constructionis *πόδα βαίνειν*, de qua vid. Krueg. II § 46, 7, 3, intellegi.]

v. 1072. *σαρκῶν . . ἐμπλησθῶ*] Cfr. illa verba feram et diram ultionem expetentium *ὠμὸν καταφαγεῖν τινα, ὠμοῦ τινος ἐσθίειν, ἀνδρὶ παρὰ κρατερῷ τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι ἐσθέμεναι προσφῦσα* Hom. Il. ω 212 cfr. δ 35, χ 347.

v. 1074. *ἀντίποινα* appositio est ad *λώβαν*.

v. 1075 sqq. Longius a tentorio digressus, ubi liberorum cadavera reliquerat, vereri incipit Polymestor, ne illa a mulieribus in caedem ac foedissima facinora furentibus (*βάκχαις Ἅιδου*, conf. Cycl. 397 *Ἅιδου μάγειρος*), simili credo scelere, ut Orpheum olim ac Pentheum Bacchae laceraverant, discerperentur. Itaque navis instar, contractis quasi velis (*λινόκροκον φᾶρος στέλλων*) gressum cohibuit (*ἀνοκωχεύει* cfr. schol. ad Soph. El. 732) et ad custodienda carissima corpora revertitur.

v. 1079. Verba *πᾷ βῶ* loco alieno interposita, quae Porsonus ante *πᾷ στῶ* collocabat, Nauckius recte delet ut illata ex v. 1056.

v. 1080. Pro *ὅπως* aut cum Weilio *ἅτε* aut cum Nauckio *ὡς* scribendum videtur, ut duo dochmii restituantur, nisi creticos admixtos putes dochmiis ut v. 1078.

φᾶρος στέλλων, ἐπὶ τάνδε συθεὶς
τέκνων ἐμῶν φύλαξ
ὀλέθριον κοίταν;

ΧΟ. ὦ τλῆμον, ὥς σοι δύσφορ' εἴργασται κακά·
δράσαντι δ' αἰσχρὰ δεινὰ τἀπιτίμια
[δαίμων ἔδωκεν, ὅστις ἐστί σοι βαρύς].

ΠΟΛ. αἶ αἶ, ἰὼ Θρήκης
λογχοφόρον, ἔνοπλον, εὔϊππον, Ἄ-
ρει κάτοχον γένος.
ἰὼ Ἀχαιοί, ἰὼ Ἀτρεΐδαι.
βοὰν βοὰν ἀϋτῶ, βοάν·
ἴτε, μόλετε πρὸς θεῶν.
κλύει τις, ἢ οὐδεὶς ἀρκέσει, τί μέλλετε;
γυναῖκες ὤλεσάν με,
γυναῖκες αἰχμαλωτίδες.
δεινὰ δεινὰ πεπόνθαμεν.
ὤμοι ἐμᾶς λώβας.
ποῖ τράπωμαι; ποῖ πορευθῶ;
[αἰθέρ'] ἀμπτάμενος οὐράνιον
ὑψιπετὲς ἐς μέλαθρον, Ὠρίων
ἢ Σείριος ἔνθα πυρὸς φλογέας ἀφίη-
σιν ὄσσων αὐγάς, ἢ τὸν ἐς Ἀίδα
μελανοχρῶτα πορθμὸν ᾄξω τάλας;

Πείσματα πόντια sunt ancoralia.

v. 1083. Ex iambis dochmius efficitur Hartungi emendatione *τέκνων μου φύλαξ*.

v. 1085. Verte: O miserum te! quam gravia in te perpetrata sunt mala. Vid. Krueg. I § 46, 12, 3.

v. 1087. Hunc v. eiecit Hermannus ut ex v. 723 translatum et hoc loco parum commodum.

v. 1088—1106. Plurimi in hoc carmine sunt versus dochmiaci, aliquot cretici et iambici.

v. 1094. *ἢ* cum prima syllaba voc. *οὐδεὶς* coalescit. vid. Soph. Oed. T. 993. Eurip. Bacch. 649. cf. Krueg. II § 13, 6, 2. Blomf. ad Aesch. S. c. Th. 186.

v. 1097. Alterum *δεινά*, quod recentes nonnulli libri omittunt, delendum videtur. Weilius conicit *δεινὰ φεῦ, δεινὰ πεπόνθαμεν*.

v. 1098. Idem metrum habes Iph. T. 874 *ἃ δ' ἐπ' αὐτοῖς τίς τελευτά*; et 875.

v. 1100 sqq. *αἰθέρα* motus scholio Flor. 25 et 33 *ἔν τισι τὸ αἰθέρα περισσὸν καὶ οὐ φέρεται* eiecit Hermannus ut ex interpretatione verborum *ὑψιπετὲς μέλαθρον* ortum. — Participium *ἀμπτάμενος* referendum est ad verb. fin. *ᾄξω*. Pro *ἢ ἐς Ἀίδα πορθμευθείς* variatur *τὸν ἐς Ἀίδα πορθμόν*; hoc autem eadem ratione dicitur atque *τὴν ἐς Ἀίδα ὁδὸν* (*ᾄξω*). Cfr. Krueg. I § 46, 5, 3. — *ἀμπτάμενος* pro *ἀναπτάμενος*, quod ipsum perperam exhibent codd. nonnulli. Infra 1263 *ἀμβήσει*. cf. Krueg. II § 8, 3, 7.

ΧΟ. συγγνώσθ', ὅταν τις κρείσσον' ἢ φέρειν κακὰ
πάθῃ, ταλαίνης ἐξαπαλλάξαι ζόης.

ΑΓΑΜΕΜΝΩΝ.

κραυγῆς ἀκούσας ἦλθον. οὐ γὰρ ἥσυχος
πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἠχώ, διδοῦσα θόρυβον. εἰ δὲ μὴ Φρυγῶν
πύργους πεσόντας ᾔσμεν Ἑλλήνων δορί,
φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.
ΠΟΛ. ὦ φίλτατ', ᾐσθόμην γάρ, Ἀγάμεμνον, σέθεν
φωνῆς ἀκούσας, εἰσορᾷς ἃ πάσχομεν;
ΑΓ. ἔα.
Πολυμῆστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσε;
τίς ὄμμ' ἔθηκε τυφλὸν αἱμάξας κόρας,
παῖδάς τε τούσδ' ἔκτεινεν; ἦ μέγαν χόλον
σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.
ΠΟΛ. Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
ἀπώλεσ', οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.
ΑΓ. τί φής; σὺ τοὔργον εἴργασαι τόδ', ὡς λέγει;
σὺ τόλμαν, Ἑκάβη, τήνδ' ἔτλης ἀμήχανον;
ΠΟΛ. ὤμοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;
σήμηνον, εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν
διασπάσωμαι καὶ καθαιμάξω χρόα.

v. 1107. *ξυγγνώσθ'*] Pluralis adiectivi pro singulari. Med. 491: *συγγνώστ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους*. 703: *συγγνωστὰ μὲν τἄρ' ἦν σε λυπεῖσθαι, γύναι*. cf. Bacch. 1039. Phoen. 994. Krueg. I § 44, 4, 2. — *κρείσσον' ἢ φέρειν*, graviora quam quae ferri possint; cf. Krueg. I § 49, 4.

v. 1109 sqq. Agamemnonis adventu cum speret Polymestor fore, ut Hecuba dedatur ad supplicium, sedatior simul cum animi motu fit oratio, et illam numerorum vehementiam ac varietatem excipiunt trimetri iambici. Iamque eo res adducta est, ut, quod maxime amat Euripides, tanquam in forensi certamine causa disceptetur, absolutaque Hecuba simul et promissis satisfaciat Agamemno, et iusti regis personam egregie tueatur.

v. 1113. *παρέσχεν*] Quod Marklandus ad Suppl. 905 coniecit *παρέσχ' ἄν*, refutavit Elmsl. ad Med. 416, cum docuit Atticos non solere ε tertiae personae ante particulam ἄν elidere. Elmsl. ipse *ὅδ' ἂν κτύπος* proposuit; sed non opus esse particula *ἄν* demonstravit Hermannus de part. *ἄν* I 13 et ad Soph. El. 902. Cfr. Krueg. I § 53, 10, 5. Magis tamen huic usui convenit imperfectum *παρεῖχεν*.

v. 1118. *χόλον σοὶ καὶ τέκνοισιν εἶχεν*] Constructionem illustravi ad Med. 75.

v. 1121. Hecuba me perdidit; perdidit, dico? immo maius quid perpetravit. Iph. T. 1321: *ὦ θαῦμα. πῶς σε μεῖζον ὀνομάσας τύχω;* Vid. ad v. 667.

v. 1126. Medium *διασπάσωμαι* parum aptum est. Scribendum videtur *διασπάσω νιν*.

ΑΓ. οὗτος, τί πάσχεις;
ΠΟΛ. πρὸς θεῶν σε λίσσομαι,
μέθες μ᾽ ἐφεῖναι τῇδε μαργῶσαν χέρα.
ΑΓ. ἴσχ᾽· ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον
λέγ᾽, ὡς ἀκούσας σοῦ τε τῆσδέ τ᾽ ἐν μέρει
κρίνω δικαίως, ἀνθ᾽ ὅτου πάσχεις τάδε.
ΠΟΛ. λέγοιμ᾽ ἄν. ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
ὕποπτος ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
τοῦτον κατέκτειν᾽· ἀνθ᾽ ὅτου δ᾽ ἔκτεινά νιν,
ἄκουσον, ὡς εὖ καὶ σοφῇ προμηθίᾳ.
ἔδεισα, μὴ σοὶ πολέμιος λειφθεὶς ὁ παῖς
Τροίαν ἀθροίσῃ καὶ ξυνοικίσῃ πάλιν,
γνόντες δ᾽ Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα
Φρυγῶν ἐς αἶαν αὖθις ἄρειαν στόλον,
κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε
λεηλατοῦντες, γείτοσιν δ᾽ εἴη κακὸν

v. 1127. *οὗτος, τί πάσχεις;*] Heus tu, quid coeptas? Eadem formula apud Aristoph. Vesp. 1. Av. 1044. Eur. Alc. 773: *οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;* cf. Ruhnk. ad Tim. p. 279 sq. Reisig. Coniect. I p. 166.

v. 1128. *μαργῶσαν*] caedis avidam, saevientem. Phoen. 1156: *ἀλλ᾽ ἔσχε μαργῶντ᾽ αὐτὸν ἐναλίου θεοῦ Περικλύμενος παῖς.* 1247: *μαργῶντ᾽ ἐπ᾽ ἀλλήλοισιν ἱέναι δόρυ.* cf. Soph. Ai. 50: *καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;*

v. 1129. *τὸ βάρβαρον*] Cfr. Med. 536 *πρῶτον μὲν Ἑλλάδ᾽ ἀντὶ βαρβάρου χθονὸς γαῖαν κατοικεῖς καὶ δίκην ἐπίστασαι νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος κράτος.*

v. 1132. *λέγοιμ᾽ ἄν*] Vim habet futuri. cf. Reisig. Comment. de vi et usu *ἄν* partic. p. 135.

v. 1135. *ὕποπτος*] active, qua de re dixit Wyttenb. ad Plutarch. T. I p. 237. Alia eiusdem generis adiectiva commemoravit ad hunc locum Porsonus: *πιστός* Aesch. Prom. 917. Soph. Oed. Col. 1031. *μεμπτός* Trach. 446. Adde *στενακτός* O. Col. 1663, *πανάλωτος* Aesch. Ag. 361. Ac sunt minime rara huius usus exempla: interim cf. Blomf. ad Aesch. Pers. 108. De gen. v. Krueg. II § 47, 26, 7.

v. 1138. *ἔδεισα, μὴ — ἀθροίσῃ καὶ ξυνοικίσῃ*] Singularis quaedam ratio est verborum timendi, cum praeteritis iunctum habent coniunctivum; v. Krueg. I § 54, 8, 9. Hoc loco dignum animadversione est, quod diversos modos consociavit: *ἀθροίσῃ, ἄρειαν — τρίβοιεν — εἴη.* Nec temere. Alterum enim, Troia ut restitueretur, verebatur ne eveniret; de altero coniecturam faciebat, haud esse dissimile veri Achivos redituros. De utriusque modi coniunctione quaedam notavit Iacobsius ad Anthol. Palat. p. 292.

v. 1143. Iunge *γείτοσιν δὲ Τρώων εἴη κακόν.* Mox interpositum *ἄναξ* indicio est vereri Polymestorem nonnihil, ne, quod

Τρώων, ἐν ᾧπερ νῦν, ἄναξ, ἐκάμνομεν.
Ἑκάβη δὲ παιδὸς γνοῦσα θανάσιμον μόρον
λόγῳ με τοιῷδ᾽ ἤγαγ᾽, ὡς κεκρυμμένας
θήκας φράσουσα Πριαμιδῶν ἐν Ἰλίῳ
χρυσοῦ· μόνον δὲ σὺν τέκνοισί μ᾽ εἰσάγει
δόμους, ἵν᾽ ἄλλος μή τις εἰδείη τάδε.
ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ·
πολλαὶ δὲ χειρὸς αἱ μὲν ἐξ ἀριστερᾶς,
αἱ δ᾽ ἔνθεν, ὡς δὴ παρὰ φίλῳ, Τρώων κόραι
θάκους ἔχουσαι κερκίδ᾽ Ἠδωνῆς χερὸς
ᾔνουν, ὑπ᾽ αὐγὰς τούσδε λεύσσουσαι πέπλους·
ἄλλαι δὲ κάμακα Θρῃκίαν θεώμεναι
γυμνόν μ᾽ ἔθηκαν διπτύχου στολίσματος.
ὅσαι δὲ τοκάδες ἦσαν ἐκπαγλούμεναι
τέκν᾽ ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
γένοιντο, διαδοχαῖς ἀμείβουσαι χερός.
κᾆτ᾽ ἐκ γαληνῶν, πῶς δοκεῖς, προσφθεγμάτων
εὐθὺς λαβοῦσαι φάσγαν᾽ ἐκ πέπλων ποθὲν

erat confessus aliquid etiam finitimis incommodi Graecos attulisse, offenderit Agamemnonem, et velle quodammodo lenire huius confessionis asperitatem.

v. 1152. *ὡς δὴ παρὰ φίλῳ*] I. e. specie quidem amicitiae, sed revera inimicissimae. Helen. 1378: *ὡς τῷ θανόντι χάριτα δὴ συνεκπονῶν.* Ion 1183: *ὡς τῷ νέῳ δὴ δεσπότῃ χάριν φέρων.* conf. Iph. T. 1338. Xenoph. Symp. VIII 4. Plutarch. V. Timol. 15. — Ex schol. A ad v. 1151 *οὕτω συντακτέον· πολλαὶ δὲ Τρώων κόραι ὥσπερ δὴ παρὰ φίλον κτέ.* elicias emendationem *ὡς δὴ παρὰ φίλον.*

v. 1153. *κερκίδ᾽ Ἠδωνῆς χερός*] Radius textorius pro veste commemoratur: quemadmodum apud Homerum *ἱστός* et instrumentum textorium et telam ipsam significat. Ita recte Brunckius.

v. 1154. *ὑπ᾽ αὐγάς*] 'Plutarchus Op. Moral. p. 822: *ἀλλ᾽ ὑπ᾽ αὐγὰς θεῶ.* Id. ibid. p. 1107: *ὑπ᾽ αὐγὰς διαπτύξας.*' Musgravius. Cf. Ruhnk. ad Tim. p. 264. *πέπλος* de virili veste haud inusitatum; conf. Bornemann. ad Xenoph. Cyr. III 1, 13.

v. 1156. *διπτύχου στολίσματος*] i. e. duarum hastarum quas heroes gerentes fingebantur, ut recte interpretatur Weilius, non hastae et pallii, quae antea interpretes intellegebant. Cum *στολίσματος* confert Herm. Suppl. 659 *ἐστολισμένον δορί.*

v. 1159. *διαδοχαῖς χερός*] Cfr. v. 673 *πάντων Ἀχαιῶν διὰ χερός.*

v. 1160. *πῶς δοκεῖς*] Similiter interponitur Hipp. 446: *τοῦτον λαβοῦσα, πῶς δοκεῖς, καθύβρισεν.* cf. Iph. A. 1590. Aristoph. Ach. 24: *εἶτα δ᾽ ὠστιοῦνται, πῶς δοκεῖς;* Ceterum supplendum *αἱ μὲν — κεντοῦσι παῖδας*, cui respondet *αἱ δὲ — τὰς ἐμὰς εἶχον χέρας.* Herc. 635: *χρήμασιν δὲ διάφοροι· Ἔχουσιν, οἱ δ᾽ οὔ.* Xenoph. Cyrop. IV 3, 9: *ἔλεγον, ὅτι ἀπὸ τοῦ στρατοπέδου εἶεν προεληλυθότες ἐπὶ χιλόν, οἱ δ᾽ ἐπὶ ξύλα.*

κεντοῦσι παῖδας, αἱ δὲ πολεμίων δίκην
ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας
καὶ κῶλα· παισὶ δ' ἀρκέσαι χρῄζων ἐμοῖς,
εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμόν,
κόμης κατεῖχον, εἰ δὲ κινοίην χέρας,
πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.
τὸ λοίσθιον δέ, πῆμα πήματος πλέον,
ἐξειργάσαντο δείν'· ἐμῶν γὰρ ὀμμάτων
πόρπας λαβοῦσαι τὰς ταλαιπώρους κόρας
κεντοῦσιν, αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας
φυγάδες ἔβησαν· ἐκ δὲ πηδήσας ἐγὼ
θὴρ ὣς διώκω τὰς μιαιφόνους κύνας,
ἅπαντ' ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν
πέπονθα τὴν σὴν πολέμιόν τε σὸν κτανών,
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς,
ἢ νῦν λέγων τίς ἐστιν, ἢ μέλλει λέγειν,
ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει

v. 1168. *πῆμα πήματος πλέον*] Simillimus locus Troad. 489, nisi quod perspicua de causa nominativo effertur appositio: *τὸ λοίσθιον δέ, θριγκὸς ἀθλίων κακῶν, Δούλη γυνὴ γραῦς Ἑλλάδ' εἰσαφίξομαι.* Cfr. Krueg. I § 57, 10, 10. Ceterum comparanda dictio Aeschylea Agam. 864 *κακοῦ κάκιον ἄλλο πῆμα.*

v. 1172. *ἐκ δὲ πηδήσας*] Tmesis, cuius exempla vid. apud Krueg. II § 68, 48, 1.

v. 1177. *μακροὺς τείνω λόγους*] Plato Gorg. § 47 p. 465 D: *μακρὸν λόγον ἀποτέτακα*, ubi v. Heind. cf. nostra ad Med. 1351.

v. 1179. *λέγων ἐστίν*, pro *λέγει*. Cycl. 381: *πῶς, ὦ ταλαίπωρ', ἦτε πάσχοντες τάδε;* Supra v. 122: *ἦν σπεύδων.* Cfr. Krueg. II § 56, 3, 1. Chalcidiacum hoc schema vocat Lesbonax p. 179. Repetitum *τὶς* defendit in Addendis Porsonus, allatis exemplis scriptorum saepius etiam in eodem orationis tenore hoc pronomen praeter necessitatem iterantium, ut Eur. Orest. 1218. Quanquam ne opus quidem erat isto molimine: nam cum in superiore versu iungenda sint *τὶς τῶν πρίν*, accuratius scripsit Euripides repetito pronomine quam omisso.

v. 1180. *συντεμὼν*] I. e. *συντόμως εἰπών*, vel quod dicit Lucianus Imag. § 14: *ἑνὶ λόγῳ συνελὼν φαίην ἄν.* Eur. fr. 28 *παῖδες, σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ Πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.* conf. Troad. 441. Iph. A 1249. Anaxilas Athen. XIII p. 558 E: *συντεμόντι δ' οὐδὲ ἓν Ἔσθ' ἑταίρας ὅσα περ ἔστι θηρί' ἐξωλέστερον*, quae videri possunt ex nostro loco expressa.

τοιόνδ᾽· ὁ δ᾽ ἀεὶ ξυντυχὼν ἐπίσταται.
ΧΟ. μηδὲν θρασύνου, μηδὲ τοῖς σαυτοῦ κακοῖς
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος·
πολλαὶ γὰρ ἡμῶν, αἳ μὲν εἴσ᾽ ἐπίφθονοι,
αἳ δ᾽ εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.
ΕΚ. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.
ἀλλ᾽ εἴτε χρήστ᾽ ἔδρασε, χρήστ᾽ ἔδει λέγειν,
εἴτ᾽ αὖ πονηρά, τοὺς λόγους εἶναι σαθρούς,
καὶ μὴ δύνασθαι τἄδικ᾽ εὖ λέγειν ποτέ.

v. 1182. ὁ δ᾽ ἀεὶ ξυντυχὼν] Sc. τούτῳ τῷ γένει. Ἀεί i. q. ἑκάστοτε, ut apud Thuc. I 11: οἵ γε οὐκ ἀθρόοι, ἀλλὰ μέρει τῷ ἀεὶ παρόντι ἀντεῖχον, et alibi saepissime. ἐπίσταται, gravis hoc loco vox: suo damno edoctus cognovit. Comparari potest Troad. v. 894: ἐγώ νιν οἶδα καὶ σὺ χοἰ πεπονθότες.

v. 1183. τοῖς σαυτοῦ κακοῖς] propter tua ipsius mala. Sic Hipp. 854: σᾷ τύχᾳ. supra v. 299: τῷ θυμουμένῳ. Συνθεὶς auget vim vocis πᾶν, quasi dicas: omnes, ne una quidem excepta. Geminus locus in fr. 658 ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ Γυναῖκας ἑξῆς σκαιός ἐστι κοὐ σοφός. Iph. T. 1015: ἅπαντα γὰρ Συνθεὶς τάδ᾽ εἰς ἓν νόστον ἐλπίζω λαβεῖν.

v. 1185 sq. Sententia satis perspicua: nonnullas quidem malas esse mulieres, sed alias probo ingenio. Ipsa verba magna obscuritate laborant et fortasse recte hos duos versus eiecit Dindorfius. Hermannus corrigit αἳ δ᾽ ἀντάριθμοι τῶν κακῶν, ut sensus sit: 'multae enim nostrum, aliae quidem invidia laborant, aliae vero e contraria parte aequamus numerum malarum'. Verbo ἀνταριθμεῖν usi sunt Paus. X 20, 2 et Poll. II 93. Haec si recipienda sint, praeterea debeat cum Hartungio πολλῶν pro πολλαί et cum Nauckio οὐσῶν pro ἡμῶν scribi ut in fr. 658, cuius primi versus ad v. 1183 allati sunt, πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν, τὴν δ᾽ ὥσπερ αὕτη λῆμ᾽ ἔχουσαν εὐγενές.

v. 1189. ἔδρασε] Accuratius scripsisset ἔδρασαν, cum praecesserit ἀνθρώποις. Sed illa numerorum permutatio in utraque lingua frequentissima. Tyrtaeus fr. X 27 Bgk. νέοισι δὲ πάντ᾽ ἐπέοικεν· Ὄφρ᾽ ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ, Ἀνδράσι μὲν θνητὸς ἰδεῖν ἐρατός τε γυναιξίν. Xenophon. Oecon. III 5: ἴσως γὰρ ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει αὐτῷ καὶ τῷ οἴκῳ. Eadem ratione Euripides in Androm. 421: οἰκτρὰ γὰρ τὰ δυστυχῆ Βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ. Heindorf. ad Plat. Protag. § 28.

v. 1190. σαθρός proprie de fictilibus, quorum suspectus exploranti sonus: hoc loco σαθροὶ λόγοι dicuntur, qui non apti sunt ad persuadendum. In Rhes. 639 Minerva, fallaci oratione Paridem deceptura, σαθροῖς λόγοισιν, ait, ἐχθρὸν ἄνδρ᾽ ἀμείψομαι. Conf. Wyttenbach. ad Plutarch. T. I p. 422. Stallbaum. ad Plat. Phileb. p. 177.

v. 1191. Cum offensus molesta repetitione verbi λέγειν et elocutione εὖ λέγειν ποτέ parum expressa coniecissem εὖ περιστελεῖν memor loci Med. 582 γλώσσῃ γὰρ αὐχῶν τἄδικ᾽ εὖ περιστελεῖν, O. Hensius (act. soc. Lips. VI p. 334) eandem lectionem ex gnomologio quodam

σοφοὶ μὲν οὖν εἴσ' οἱ τάδ' ἠκριβωκότες,
ἀλλ' οὐ δύναιντ' ἂν διὰ τέλους εἶναι σοφοί,
κακῶς δ' ἀπώλοντ'· οὔτις ἐξήλυξέ πω.
καί μοι τὸ μὲν σὸν ὧδε φροιμίοις ἔχει·
πρὸς τόνδε δ' εἶμι, καὶ λόγοις ἀμείψομαι,
ὃς φῂς Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν
Ἀγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν.
ἀλλ', ὦ κάκιστε, πρῶτον οὔποτ' ἂν φίλον
τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησιν γένος,
οὐδ' ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
πρόθυμος ἦσθα; πότερα κηδεύσων τινά,
ἢ ξυγγενὴς ὤν, ἢ τίν' αἰτίαν ἔχων;
ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
ὁ χρυσός, εἰ βούλοιο τἀληθῆ λέγειν,
ἔκτεινε τὸν ἐμὸν παῖδα καὶ κέρδη τὰ σά.
ἐπεὶ δίδαξον τοῦτο· πῶς, ὅτ' ηὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πτόλιν,
ἔζη τε Πρίαμος, Ἕκτορός τ' ἤνθει δόρυ,
τί δ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν

Euripideo Marciano in lucem protulit. De infin. fut. cfr. Schaefer. ad poesin gnom. p. 16, Lobeck. ad Phryn. p. 747, Hermann. ad Soph. Phil. 1394, interpretes ad Thuc. I 27, II 29.

v. 1192. οἱ τάδ' ἠκριβωκότες] Sc. τὸ εὖ λέγειν τὰ ἄδικα. Cfr. ad v. 818.

v. 1194. οὔτις ἐξήλυξέ πω] Soph. Oed. Col. 280: φυγὴν δέ του Μήπω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν.

v. 1197. ὃς φῂς] „Simillima orationis conversio in Soph. Oed. Col. 1354." Porson. Cfr. etiam Hom. Od. δ 686.

v. 1203. ἢ τίν' αἰτίαν ἔχων] I. e. τίνα ἄλλην αἰτ. ἔχ. Iph. T. 511: φυγὰς δ' ἀπῆρας πατρίδος, ἢ ποίᾳ τύχῃ; Infra 1264: ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ; Vid. Schaefer. Ind. ad L. Bosii Ellips. p. 847 sq. ad Soph. Oed. Col. 474. ad Trach. 390.

v. 1205. πείσειν τάδε] Soph. Oed. Col. 797: ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι. Amphis ap. Athen. XIII p. 563 C: τί φῄς; σὺ ταυτὶ προσδοκᾷς πείσειν ἐμέ; Krueg. I § 46, 11, 2.

v. 1207. κέρδη τὰ σά] I. e. αἰσχοκέρδεια ἡ σή.

v. 1211. τί δ'] Interruptam longiore interposita sententia orationem redorditur: cuiusmodi in locis ex more infertur δέ. Isocrates de permut. § 169 sq.: ὅτε γὰρ ἐπαμύνειν ἠρχόμην τοῖς ἰδίοις, ἀπολομένων ἐν τῷ πολέμῳ τῷ πρὸς Λακεδαιμονίους ἁπάντων τῶν ὑπαρχόντων ἡμῖν — — ὅτε δ' οὖν, ὥσπερ εἶπον, ἠρχόμην πλησιάζειν τισίν etc.

v. 1211. χάριν θέσθαι] El. 61: χάριτα τιθεμένη πόσει. Cf. Dorvill. ad Charit. p. 409.

θέσθαι, τρέφων τὸν παῖδα κἀν δόμοις ἔχων
ἔκτεινας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,
καπνῷ δ' ἐσήμην' ἄστυ πολεμίων ὕπο,
ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν.
πρὸς τοῖσδε νῦν ἄκουσον ὡς φανῇς κακός·
χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσιν φίλος,
τὸν χρυσόν, ὃν φὴς οὐ σόν, ἀλλὰ τοῦδ' ἔχειν,
δοῦναι φέροντα πενομένοις τε καὶ χρόνον
πολὺν πατρῴας γῆς ἀπεξενωμένοις·
σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
καὶ μὴν τρέφων μὲν ὥς σε παῖδα χρῆν τρέφειν
σώσας τε τὸν ἐμόν, εἶχες ἂν καλὸν κλέος·
ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι
φίλοι· τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.
εἰ δ' ἐσπάνιζες χρημάτων, ὁ δ' ηὐτύχει,
θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' οὑμὸς μέγας·
νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,
χρυσοῦ τ' ὄνησις οἴχεται παῖδές τε σοί,
αὐτός τε πράσσεις ὧδε. σοὶ δ' ἐγὼ λέγω,
Ἀγάμεμνον, εἰ τῷδ' ἀρκέσεις, κακὸς φανεῖ·

v. 1215. *καπνῷ σημαίνειν*, fumo signum dare, cum absolute dicatur, non addita re, cuius signum fumus sit, offensioni ea res fuit interpretibus. At idem fit in formula *ἐσήμηνε τῇ σάλπιγγι*, scil. *ὁ σαλπιγκτής*. Nimirum quae res significetur, sponte intellegimus: tubicine canente, initium pugnae fieri; fumo autem urbis quid aliud quis indicari suspicetur, nisi incensam esse? Quidquid autem non patimur solum, sed etiam facimus non nostra sponte, sed alieno quodam incitamento, *ὑπό τινος ποιεῖν* dicimur. Cf. Cycl. 605, Krueg. I 52, 3, 3. Igitur fumi significatio cum effecta sit igni ab hostibus iniecto, recte addit *πολεμίων ὕπο*. Fortasse scribendum cum Cantero *καπνὸς δ' ἐσήμην'* i. e. 'cum hostium manu nihil nisi fumus vestigia urbis significaret'. Cfr. Aesch. Ag. 818 *καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις*.

v. 1218. Bene Hermannus *εἴπερ ὀρθῶς ἦσθ' Ἀχαιοῖσιν φίλος*.

v. 1221. *ἀπεξενωμένοις*] Sophocl. El. 776: *φυγὰς ἀπεξενοῦτο*. Plato de Legg. IX p. 866 A: *ἐὰν δέ τις — τοὺς χρόνους μὴ ἐθέλῃ πληροῦν ἀποξενούμενος τοὺς εἰρημένους*.

v. 1223. *τολμᾷς*] Vid. ad v. 332. — *καρτερεῖς, διατελεῖς*.

v. 1224. Verba traiecta sic construe: *καὶ μὴν τρέφων μὲν παῖδα τὸν ἐμόν, ὡς χρῆν σε τρέφειν, σώσας τε*.

v. 1225. *καλὸν κλέος*] Hom. Od. *α* 95: *ἐσθλὸν κλέος*. Theocrit. XVI 58: *ἀγαθὸν κλέος*. Contra Helen. 135: *αἰσχρὸν κλέος*.

v. 1227. *τὰ χρηστὰ κ. τ. λ.*] Res secundae ultro amicos alliciunt.

οὔτ᾽ εὐσεβῆ γὰρ οὔτε πιστὸν οἷς ἐχρῆν,
οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον·
αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν
τοιοῦτον ὄντα· δεσπότας δ᾽ οὐ λοιδορῶ.

ΧΟ. φεῦ φεῦ· βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
χρηστῶν ἀφορμὰς ἐνδίδωσ᾽ ἀεὶ λόγων.

ΑΓ. ἀχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά·
ὅμως δ᾽ ἀνάγκη· καὶ γὰρ αἰσχύνην φέρει
πρᾶγμ᾽ ἐς χέρας λαβόντ᾽ ἀπώσασθαι τόδε.
ἐμοὶ δ᾽, ἵν᾽ εἰδῇς, οὔτ᾽ ἐμὴν δοκεῖς χάριν
οὔτ᾽ οὖν Ἀχαιῶν ἄνδρ᾽ ἀποκτεῖναι ξένον,
ἀλλ᾽ ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς.
λέγεις δὲ σαυτῷ πρόσφορ᾽ ἐν κακοῖσιν ὤν.
τάχ᾽ οὖν παρ᾽ ὑμῖν ῥᾴδιον ξενοκτονεῖν·
ἡμῖν δέ γ᾽ αἰσχρὸν τοῖσιν Ἕλλησιν τόδε.
πῶς οὖν σε κρίνας μὴ ἀδικεῖν φύγω ψόγον;
οὐκ ἂν δυναίμην. ἀλλ᾽ ἐπεὶ τὰ μὴ καλὰ
πράσσειν ἐτόλμας, τλῆθι καὶ τὰ μὴ φίλα.

ΠΟΛ. οἴμοι, γυναικός, ὡς ἔοιχ᾽, ἡσσώμενος
δούλης ὑφέξω τοῖς κακίοσιν δίκην.

ΕΚ. οὐκοῦν δικαίως, εἴπερ εἰργάσω κακά.

ΠΟΛ. οἴμοι τέκνων τῶνδ᾽ ὀμμάτων τ᾽ ἐμῶν, τάλας.

ΕΚ. ἀλγεῖς· τί δ᾽ ἡμᾶς; παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;

v. 1234. οἷς ἐχρῆν] Scil. πιστὸν εἶναι. Ceterum ut hoc loco οὔτε — οὔτε excipit οὐ — οὐ, ita etiam in Hipp. 1321 sq. Notavi de hoc genere ad Med. 1348. Mox v. 1237 τοιοῦτον ὄντα intellege ὥστε χαίρειν τοῖς κακοῖς. Cfr. Or. 420 μέλλει· τὸ θεῖον δ᾽ ἐστὶ τοιοῦτον φύσει. Hecuba enim non vult dicere κακὸν ὄντα, ne serva domino maledicat (δεσπότας δ᾽ οὐ λοιδορῶ).

v. 1243 sq. οὔτ᾽ — οὔτ᾽ οὖν] Aeschyl. Agam. 472: μήτ᾽ εἴην πολιπόρθης, μήτ᾽ οὖν αὐτὸς ἁλοὺς ὑπ᾽ ἄλλων βίον κατίδοιμι.

v. 1247. ῥᾴδιον] Demosth. I § 15 οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις. Gaius apud Stobaeum Floril. 73, 64 εὐάγωγον δὲ εἰς τὸ ῥᾳδίως τι τολμῆσαι θυμὸς γυναικός.

v. 1249. μὴ ἀδικεῖν] I. e. μὴ ἄδικον εἶναι vel μὴ ἠδικηκέναι. Vid. Heind. ad Plat. Protag. p. 463 sq. De synizesi, qua μὴ ἀ— conflantur, conf. Hipp. 997. Cycl. 272. Heracl. 459 al.

v. 1256. τί δ᾽ ἡμᾶς;] Rectius, ut opinor, sic interpunximus quam, quod fecit Dindorfius, post τί δ᾽. Solet enim in his interrogandi formulis, praesertim si qua sit oppositio, res, de qua quid praedicatur, reici ad pronomen: v. c. apud Platonem Phaedon. p. 65 D: τί δὲ δὴ τὰ τοιάδε, ὦ Σιμμία; φαμέν τι εἶναι δίκαιον αὐτὸ ἢ οὐδέν; vid. Heind. ad Gorg. § 66. No-

ΠΟΛ. χαίρεις ὑβρίζουσ' εἰς ἔμ', ὦ πανοῦργε σύ.
ΕΚ. οὐ γάρ με χαίρειν χρῆν σὲ τιμωρουμένην;
ΠΟΛ. ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτὶς
ΕΚ. μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλληνίδος;
ΠΟΛ. κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.
ΕΚ. πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων;
ΠΟΛ. αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσει ποδί.
ΕΚ. ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;
ΠΟΛ. κύων γενήσει πύρσ' ἔχουσα δέργματα.
ΕΚ. πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
ΠΟΛ. ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.
ΕΚ. σοὶ δ' οὐκ ἔχρησεν οὐδὲν ὧν ἔχεις κακῶν;
ΠΟΛ. οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.
ΕΚ. θανοῦσα δ' ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;
ΠΟΛ. θανοῦσα· τύμβῳ δ' ὄνομα σῷ κεκλήσεται
ΕΚ. μορφῆς ἐπῳδόν, ἢ τί, τῆς ἐμῆς ἐρεῖς;

minativum autem an accusativum ponas, intellegendum est ex ratione eius sententiae, cui detractum est, quod pronomini adiungitur, nomen. Nominativum, qui referretur ad sequens *εἰσίν*, posuit Iph. T. 576: *τί δ' ἡμεῖς οἵ τ' ἐμοὶ γεννήτορες; ἆρ' εἰσίν; ἆρ' οὐκ εἰσί*; cf. Soph. Ai. 101. Heindorf. ad Plat. Gorg. § 123. — *παιδὸς ἀλγεῖν*. Suppl. 58: *ὅσσον ἐπαλγῶ μελέα τῶν φθιμένων, οὓς ἔτεκον*. Cf. Krueg. II § 47, 21, 2.

v. 1261. Particulae *μὲν οὖν* sunt corrigentis ea, quae alter dixerat: immo. Cf. Or. 1511. 1521. Iph. A. 893. Soph. Ai. 1363. Aristoph. Plut. 437. Herm. ad Vig. p. 845.

v. 1265. „Idem vaticinium alibi dederat Euripides apud Plutarchum de Is. et Osir. p. 379 E: *Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσει*. Quem ridet Aristophanes apud Eustathium ad Od. *Γ* p. 1467, 37 = 127, 17: *καὶ κύων ἀκράχολος Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι*.“ Porson. Cicero Tusc. III 26: Hecubam autem putant propter animi acerbitatem quandam et rabiem fingi in canem esse conversam. Cf. Dio Chrysost. Or. XXXIII T. II p. 29 R.

v. 1267. „De oraculo hoc Bacchi vide Herodot. VII 111. Macrob. Saturn I 18.“ Musgravius. De dativo *Θρῃξί* cfr. Or. 363 *ὁ ναυτίλοισι μάντις*, Krueg. II § 48, 12, 1.

v. 1269. Partem responsionis suppressam esse docet particula *γάρ*. Supplendum *οὐκ ἔχρησεν*. Sophocl. Aiac. v. 1120 sq.: *M. Ὁ τοξότης ἔοικεν οὐ σμικρὸν φρονεῖν. T. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.*

v. 1270. *ἐκπλῆσαι βίον* si simpliciter significaret vivere, ridiculum esset profecto, ut visum est Musgravio, coniunctum cum illo *θανοῦσα*, tautologicum autem cum *ζῶσα*. At *ἐκπλῆσαι βίον* est ad vitae finem pervenire; *ἐνθάδε* copulandum cum participiis *θανοῦσα* et *ζῶσα*, ut hoc dicat Hecuba: „utrum moriens eo loco, ubi me saltu in aequor dedero, an vivens ad vitae finem perveniam?“ Reiskius coniecit *ἐκπλήσω πότμον*.

v. 1272. *ἢ τί*] *διὰ μέσου*. Similia indicavi ad v. 605 huius fabulae.

ΠΟΛ. κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
ΕΚ. οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
ΠΟΛ. καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
ΕΚ. ἀπέπτυσ'· αὐτῷ ταῦτα σοὶ δίδωμ' ἔχειν.
ΠΟΛ. κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
ΕΚ. μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
ΠΟΛ. καὐτόν σε τοῦτον πέλεκυν ἐξάρασ' ἄνω.
ΑΓ. οὗτος σύ, μαίνει καὶ κακῶν ἐρᾷς τυχεῖν;
ΠΟΛ. κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀμμένει.
ΑΓ. οὐχ ἕλξετ' αὐτόν, δμῶες, ἐκποδὼν βίᾳ;
ΠΟΛ. ἀλγεῖς ἀκούων;
ΑΓ. οὐκ ἐφέξετε στόμα;
ΠΟΛ. ἐγκλῄετ'· εἴρηται γάρ.
ΑΓ. οὐχ ὅσον τάχος
νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ που,
ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη, σὺ δ', ὦ τάλαινα, διπτύχους νεκροὺς
στείχουσα θάπτε· δεσποτῶν δ' ὑμᾶς χρεὼν

v. 1273. Τὸ τῆς Ἑκάβης μνημεῖον in promuntorio prope Elaeuntem commemorat Diod. Sic. XIII 40. Cf. Hemsterh. ad Lucian. T. I p. 330 sq.

v. 1276. ἀπέπτυσ'] Nota abominandi formula: cf. Hipp. 614. Iph. A. 874. Iph. T. 1161. Hel. 664. Aoristus pro praesente, v. Herm. ad Vig. p. 746. Ad sequentia comparandus Cycl. 270, ubi postquam culpa se vacare asseveraverat Silenus addideratque haec: ἢ κακῶς οὗτοι κακοὶ Οἱ παῖδες ἀπόλοινθ' οὓς μάλιστ' ἐγὼ φιλῶ, respondet chorus: αὐτὸς ἔχ'.

v. 1287. μήπω verecunde in votis pro μήποτε dicebant. Soph. El. 403: οὐ δῆτα· μήπω νοῦ τοσόνδ' εἴην κενή. Eur. Heracl. 359: μήπω ταῖς μεγάλαισιν οὕτω καὶ καλλιχόροις Ἀθάναις εἴη. Similiter οὔπω dicitur in Soph. Oed. T. 594: οὔπω τοσοῦτον ἠπατημένος κυρῶ. Cf. Lobeck. ad Phryn. p. 458. — μανείη: Notanda formula, qua utuntur qui fortius abhorrere se ab aliqua re declarant. Lucian. Phalar. I § 11: μὴ γὰρ οὕτω μανείην. Cf. eundem Tox. § 50. encom. Demosth. § 5. Dial. meretr. T. III p. 283.

v. 1279. σε τοῦτον coniunguntur ut οὗτος σύ.

v. 1280. οὗτος σύ] Indignantis et vehementius commoti haec est compellatio, ut apud Soph. Oed. T. 532: οὗτος σύ, πῶς δεῦρ' ἦλθες;

v. 1281. Varias de caede Agamemnonis narrationes exposuit Nitschius Lex. Mythol. T. I p. 106 sq.

v. 1285. Vetus hoc atque usitatum poenae genus. Cf. Hom. Od. γ 270.

v. 1286. καὶ λίαν] Καὶ intendit vim voculae λίαν, ut apud Hom. Od. α 46: καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ. Vide Elmsleium ad Medeam v. 513. Fritzschium Quaest. Luc. p. 5 sqq.

σκηναῖς πελάζειν, Τρῳάδες· καὶ γὰρ πνοὰς
πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
εὖ δ' ἐς πάτραν πλεύσαιμεν, εὖ δὲ τἀν δόμοις
ἔχοντ' ἴδοιμεν, τῶνδ' ἀφειμένοι πόνων.
ΧΟ. ἴτε πρὸς λιμένας σκηνάς τε, φίλαι,
τῶν δεσποσύνων πειρασόμεναι
μόχθων· στερρὰ γὰρ ἀνάγκη.

INDEX EMENDATIONUM.

13 ἦ secundum schol. cod. Vat. 1345: libri ἦν. 15 ἦ: libri ἦν. 80 ἄγκυρ' ἐπ' pro ἄγκυρά τ' ex. schol. W(ecklein). Idem sensisse videtur Ge. Schmidius Eurip. Dorp. 1864 p. 5. 92 ἀνοίκτως p. ἀνάγκᾳ οἰκτρῶς Porson.

164 ποῖ δῆθ' ὁρμάσω; τίς Θεῶν ἢ δαίμων ἐπαρωγός; W. 170 πούς addidit W. 187 τέκνον τέκνον p. ὦ τέκνον τέκνον Herm. 195 δυσφάμους p. δυσφήμους Dind.

210 τάλαινα p. ἆ τάλαινα Seidler. 211 σοῦ p. σὲ ex schol. W. δυστάνου: libri δύσταν vel δύστηνε vel δύστανε vel δυστάνου βίου. 212 πανδύρτοις p. πανοδύρτοις Blomfield. 247. 248 suspectos habet W. 274 γραίας p. γεραίας Valckenarius. 284 ἦ: libri ἦν. 287 Ἀχαιικόν p. Ἀχαϊκόν Brunck. 295 αὐτὸς p. αὑτὸς Porson.

367 ἐλευθέρων p. ἐλεύθερον Hartung. 392 πῶμ' p. πόμ' Porson.

412. 419. 420 suspectos habet W. 430 συγκλῄσει p. συγκλείσει Dind. 432 κάρᾳ πέπλους p. κάρα πέπλοις Kirchhoff. 451 ἔνθα p. ἔνθα τὸν Porson. 454 γύας Herm.: libri πεδία, recentiores aliquot τὰς γύας. 460 φίλον W. 467 θεᾶς ναίουσ' p. Ἀθαναίας Nauck. 489 κεκτῆσθαι βροτούς ex schol. W.

510. 521 cfr. 287. 528 ἄρδην ἔχεε W. 580—582 κλύων.. λέγω.. δὲ σέ W.

649 εὔροον pro εὔρουν Herm. 665 sq. τυγχάνει γὰρ ἐκ δόμων, ἐς καιρὸν ἥδε W. 686 ἀρτιμαθὴς νέον W. 690 ἀστένακτος ἀδάκρυτος.. ἁμέρα p. ἀδάκρυτος ἀστένακτος ἁμέρα μ' Herm. 696 θαλασσίοις p. θαλασσίαις Hartung.

700 αἰαῖ τῶν κακῶν huc revocat W. 706 sq. μελανόπτερον Σοῦ, τέκνον, οὐκέτ' ὄντος W. 716 ὦ p. ἰώ Brunck. 759 suspectum habet W. 787 πίτνω p. πίπτω W.

809 ἦ: libri ἦν. 810 suspectum habet W. 818 ἦν p. ἢ Elmsl. 831 ἀεί W. 859 δ' ἐμοὶ p. δὲ σοὶ Elmsl. 890 πλαθεῖσα p. πλασθεῖσα Brunck.

901 εὐσταλῆ W. 911 αἰθάλου p. αἰθάλου καπνοῦ Triclinius. 932 οἴκους p. ἐς οἴκους Kingius. 946 πατρίας p. πατρῴας Dind. 958 αὐτὰ p. αὔθ' οἱ Herm.

1000 ἔστ' ὦ p. ἔστω Herm. 1025 πεσὼν cod. Cantabr., ἐμπεσὼν ceteri. 1026 ἐκπεσεῖ p. ἐκπέσῃ olim Herm. 1029 βίον p. βίοτον Herm. 1030 οὗ p. οὐ Hemsterhusius. 1033 ἄταν W. 1041 chori est in libris melioribus. Polymestori secundum Flor. 17 et schol. tribuit Herm. 1055 ζέοντι recentes duo, ῥέοντι ceteri. 1063 τάλαιναι κόραι p. κόραι τάλαιναι Herm. 1068 ἀκέσσαιο τυ-

φλὸν ἀκέσσαι' p. ἀκέσαι' ἀκέσαιο τυφλὸν Weilius. 1073 τιθέμενος θηρῶν p. θηρῶν τιθέμενος Seidler. 1077 σφακτὰ p. σφακτὰν Herm. φοινίαν unus lib. rec., ceteri φονίαν. ἀνήμερόν τ' οὐρείαν p. ἀνήμερον οὐρείαν τ' Herm. 1093 libri alii ὦ ἴτε, alii ὢ ἴτε vel ἴτε.

1112 ἧσμεν p. ἵσμεν Et. M. p. 439, 1. 1113 παρεῖχεν W. 1126 διασπάσω νιν W. 1151 χειρὸς p. χεῖρες Miltonus. 1153 sq. θάκους . . ἧνουν p. θάκουν ἧνουν θ' Herm. 1159 ἀμείβουσαι χερός p. ἀμείβουσαι διὰ χερός vel ἀμ. χεροῖν vel ἀμ. χερῶν W. 1194 ἀπώλοντ' οὔτις cod. Kingii et Gnomol. Eurip. Marcianum (de quo v. comment. ad v. 1191), ceteri libri ἀπώλοντο κοὔτις. 1195 ὧδε cod. Kingii, ὧδ' ἐν ceteri.

1201 οὐδ' p. οὔτ' Dind. 1256 τί δ' ἡμᾶς p. τί δέ με Scaliger. 1258 χρῆν ex duobus optimis libris recepi, ceteri habent χρή.

Ubique scripsi vel cum libris vel contra libros ηὐτύχει p. εὐτύχει et similia, σῴζειν, εἵνεκα praepositionis loco p. οὕνεκα, ἄκλαυτος p. ἄκλαυστος, κέλευμα p. κέλευσμα, με χρῆν p. μ' ἐχρῆν (παῖδα χρῆν p. παῖδ' ἐχρῆν v. 1224). Cfr. curae epigr. p. 36, 33, 45, 60, Stud. Eurip. p. 366 sq.

BIBLIOTHECA GRAECA

VIRORUM DOCTORUM OPERA

RECOGNITA ET COMMENTARIIS INSTRUCTA

CURANTIBUS

FR. JACOBS ET **VAL. CHR. FR. ROST.**

LIPSIAE IN AEDIBUS B. G. TEUBNERI.

Bedeutend ermässigte Preise.

Erschienen sind bis jetzt:	M. Pf.
Aeschinis in Ctesiphontem oratio recensuit explicavit *A. Weidner* .	3.60
Aeschyli Choephorae, illustr. *R. H. Klausen.* 8. mai. 1835	2.25
——— Agamemno, illustr. *R. H. Klausen.* Ed. II. ed. *R. Enger.* 8. mai. 1863	3.75
Anacreontis carmina, **Sapphus** et **Erinnae** fragmenta, annotatt. illustr. *E. A. Moebius.* 8. mai. 1826.	— 60
Aristophanis Nubes. Ed. illustr. praef. est *W. S. Teuffel.* Ed. II. 8. mai. 1863	1.20
Delectus epigrammatum Graecorum, novo ordine conc. et comment. instr. *Fr. Jacobs.* 8. mai. 1826	1.80
Demosthenis conciones, rec. et explic. *H. Sauppe.* Sect. I. (cont. Philipp. I. et Olynthiacae I—III.) Ed. II. 8. mai. 1845	1 —
Euripidis tragoediae, ed. *Pflugk* et *Klotz.* Vol. I, II et III. Sect. I—III.	14.70
Einzeln:	
Vol. I. Sect. 1. Medea. Ed. III	1.50
„ I. „ 2. Hecuba. Ed. II	1.20
„ I. „ 3. Andromacha. Ed. II	1.20
„ I. „ 4. Heraclidae. Ed. II.	1.20
„ II. „ 1. Helena. Ed. II	1.20
„ II. „ 2. Alcestis. Ed. II	1.20
„ II. „ 3. Hercules furens	1.80
„ II. „ 4. Phoenissae	1.80
„ III. „ 1. Orestes	1.20
„ III. „ 2. Iphigenia Taurica	1.20
„ III. „ 3. Iphigenia quae est Aulide	1.20
Hesiodi carmina, recens. et illustr. *C. Goettling.* Ed. II. 8. mai. 1843 .	3 —
Einzeln:	
Theogonia	— 75
Scutum Herculis	— 45
Opera et dies	1 —
Homeri certamen, fragmenta et vita Hesiodi	1.50
Homeri Ilias, varietat. lect. adi. *Spitzner.* Sect. I—IV. 8. mai. 1832—36	4.50
Einzeln:	
Sect. I. lib. 1—6	— 90
Sect. II. lib. 7—12	— 90
Sect. III. lib. 13—18	1.35
Sect. IV. lib. 19—24	1.35
Lysiae et **Aeschinis** orationes selectae, ed. *I. H. Bremi.* 8. mai. 1826	1.50
Lysiae orationes selectae, ed. *I. H. Bremi.* 8. mai. 1826	— 90
Pindari carmina cum deperditarum fragm., variet. lect. adi. et comment. illustr. *L. Dissen.* Ed. II. cur. *Schneidewin.* Vol. I. 1843 .	3.90
——— Vol. II. Sect. I. II. (Comment. in Olymp. et Pyth.) 1846. 47. (à 1 Mk. 50 Pf.)	3 —

M. Pf.

Platonis opera omnia, recensuit, prolegomenis et commentariis instruxit *G. Stallbaum*. X voll. (21 Sectiones). 8. mai. 1836—61.

Vol. I. Sect. 1.	Apologia Socrati et Crito. Ed. IV. [Vergriffen.]		2.40
„ I. „ 2.	Phaedo. Ed. V. cur. *Wohlrab*. 1875		2.70
„ I. „ 3.	Symposium c. ind. Ed. III. 1852		2.25
„ II. „ 1.	Gorgias. Ed. III. 1861		2.40
„ II. „ 2.	Protagoras c. ind. Ed. III. ed. *Kroschel*. 1865		1.80
„ III.	Politia sive de republica libri decem. 2 voll. Ed. II.		7.50
„ III. „ 1.	Politia lib. I—V. 1858		4.20
„ III. „ 2.	lib. VI—X. 1859		3.30
„ IV. „ 1.	Phaedrus. Ed. II. 1857.		2.40
„ IV. „ 2.	Menexenus, Lysis, Hippias uterque, Io. Ed. II. 1857		2.70
„ V. „ 1.	Laches, Charmides, Alcibiades I. II. Ed. II. 1857		2.70
„ V. „ 2.	Cratylus cum. ind. 1835		2.70
„ VI. „ 1.	Euthydemus. 1836		2.10
„ VI. „ 2.	Meno et Euthyphro itemque incerti scriptoris Theages, Erastae, Hipparchus. 1836. [Vergr.]		4.20
„ VII. „	Timaeus et Critias. 1838. [Vergriffen.]		5.40
„ VIII. „ 1.	Theaetetus. Ed. II. rec. *Wohlrab*. 1869		3 —
„ VIII. „ 2.	Sophista. 1840		2.70
„ IX. „ 1.	Politicus et incerti auctoris Minos. 1841		2.70
„ IX. „ 2.	Philebus. 1842		2.70
„ X. „ 1.	Leges. Vol. I. lib. I—IV. 1858		3.60
„ X. „ 2.	lib. V—VIII. 1859		3.60
„ X. „ 3.	lib. IX—XII. et Epinomis. 1860		3.60

Sophoclis tragoediae, rec. et explan. *E. Wunderus*. 2 voll. 8. mai. 1847—1857 . . . . 9.30

Einzeln:

Vol. I. Sect. 1.	Philoctetes. Ed. IV ed. *Wecklein*.	1.50
„ I. „ 2.	Oedipus tyrannus. Ed. IV	1.20
„ I. „ 3.	Oedipus Coloneus. Ed. III	1.80
„ I. „ 4.	Antigona. Ed. IV	1.20
„ II. „ 1.	Electra. Ed. III.	1.20
„ II. „ 2.	Aiax. Ed. III	1.20
„ II. „ 3.	Trachiniae. Ed. II	1.20

Thucydidis de bello Peloponnesiaco libri VIII, explan. *E. F. Poppo*. 4 voll. 8. mai. 1843—1875. . . . . 12 —

Einzeln:

Vol. I. Sect. 1.	Lib. I. Ed. II	3 —
„ I. „ 2.	Lib. II. Ed. II	2.25
„ II. „ 1.	Lib. III. Ed. II ed. *J. M. Stahl*	2.40
„ II. „ 2.	Lib. IV. Ed. II ed. *J. M. Stahl*	2.70
„ III. „ 1.	Lib. V	1.50
„ III. „ 2.	Lib. VI	1.80
„ IV. „ 1.	Lib. VII	1.50
„ IV. „ 2.	Lib. VIII	1.50

Xenophontis Cyropaedia, comment. instr. *F. A. Bornemann*. 8. mai. 1838 . . . . 1.50

——— Memorabilia (Commentarii), illustr. *R. Kühner*. 8. mai. 1858. Ed. II 2.70

——— Anabasis (expeditio Cyri min.), illustr. *R. Kühner*. 1852 . . . . 3.60

Einzeln à 1 Mk. 80 Pf.

Sect. I. lib. I—IV.

Sect. II. lib. V—VIII.

——— Oeconomicus, rec. et explan. *L. Breitenbach*. 8. mai. 1841 . . . . 1.50

——— Agesilaus ex ead. recens. 8. mai. 1843 . . . . 1.20

——— Hiero ex ead. rec. 8. mai. 1844 . . . . — 75

——— Hellenica, Sect. I. (lib. I. II.), ex ead. rec. 8. mai. 1853 . . . . 1.20

——— ——— Sect. II. (lib. III—VII.), ex ead. rec. 8. mai. 1863 . . . . 4.80

UNIVERSITY OF ILLINOIS-URBANA
881E81858 C001
TRAGOEDIAE. LIPSIAE
1 PT.2
3 0112 023787606